Οὕτως ἔχουσιν αἱ τρεῖς πρῶται ἐπιστολαὶ τοῦ ἐν τῇ μονῇ τοῦ Διονυσίου κώδικος, ἅστινας ὁ κ. Λάμπρος ἐξελάμβανε μετὰ τῶν ἐν τῷ αὐτῷ κώδικι λοιπῶν ἐπιστολῶν ὡς ἀγνώστους, καὶ τοῦτο διότι πραγματικῶς αἱ τρεῖς ἐκεῖναι ἐπιστολαὶ ἐν οὐδεμιᾷ συλλογῇ τῶν ἐπιστολῶν τοῦ Φωτίου εὑρίσκονται, οὔτε ἐν τῇ συλλογῇ τοῦ Μοντακουτίου (Londini 1651), οὔτε ἐν τῇ τοῦ Migne (Patrol. gr. 1860, τ. 102), ἀλλ' οὔτε καὶ ἐν τῇ τοῦ Βαλέττα συλλογῇ, ἥτις εἶναι πασῶν ἡ πληρεστέρα· καὶ παράδοξον ἀληθῶς εἶναι, ὅτι τρεῖς ἐπιστολαὶ τοῦ Φωτίου οὕτω μεγάλης ἀξίας ὑπὸ ἱστορικὴν ἔποψιν, οἷαι εἶναι αἱ προκαταχωρισθεῖσαι ἐνταῦθα, εἶχον λησμονηθῇ καὶ ὑπὸ τοῦ Migne καὶ ὑπὸ τοῦ Βαλέττα [3]. Τὰς τρεῖς ὅμως ἐπιστολὰς ἐκείνας ἐξέδωκε τὸ πρῶτον ὁ Beveridge, καταχωρίσας αὐτὰς ἐν τῷ «Συνοδικῷ sive pandectae canonum ss. apostolorum et conciliorum ab ecclesia graeca receptorum» (Oxonii 1672, τ. 2, σ. 290), κατὰ τὸν 26-ον κώδικα τῆς συλλογῆς Laud, τῆς ἐν τῇ Βοδλεϊανῇ βιβλιοθήκῃ, ἔνθα αἱ ἐπιστολαὶ ἐκεῖναι μέρος ἀποτελοῦσί τινος συντάγματος «περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἥτις ἀποκατέστησε Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἰς τὸν θρόνον Κωνσταντινουπόλεως καὶ διέλυσε τὰ σκάνδαλα τῶν δύο ἐκκλησιῶν» [4].

---

[1] ἕτεροι κώδικες *γινώσκειν*. [2] κῶδ. *ὑφορώμην*. [3] Τῶν ἐπιστολῶν τούτων ἀνάλυσιν ἔκαμεν ὁ Hergenröther, Photius patriarch von Constantinopel. Regensburg 1867, τ. 2, σ. 553-558. [4] Ἐν τῷ κειμένῳ τούτῳ πρὸ τῶν ἐπιστολῶν ὑπάρχει τὸ σημείωμα τόδε· «αὗται αἱ ἐπιστολαὶ ἐγράφησαν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου πρὸς Ῥωμαίους ἀρχιερεῖς μετὰ τὴν σύνοδον, τελεσθείσης τῆς ἑνώσεως τῶν δύο ἐκκλησιῶν» (ἔτει 880-ῷ).

Τὰς αὐτὰς ἐπιστολὰς εὗρε καὶ Δωρόθεος Εὐελπίδης, μητροπολίτης Κορυτσᾶς, ἐν τῷ πάλαι ποτὲ 116-ῳ νῦν δέ, καθὰ φαίνεται, μὴ ὑπάρχοντι κώδικι τῆς ἐν Χάλκῃ τῇ νήσῳ μονῆς τῆς Θεοτόκου, καὶ νομίσας αὐτὰς τύποις ἀνεκδότους, κατεχώρισεν ἐν τῷ βιβλίῳ τῷ ἐπιγραφομένῳ· «Σπαρτίον ἔντριτον, συνυφανθὲν ἐξ ἐκκλησιαστικῶν καὶ σχολικῶν λόγων καὶ διαφόρων προσλαλιῶν τοῦ Μητροπολίτου Κορυτσᾶς Δωροθέου Εὐελπίδου. Ὧ παρήρτηνται τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φωτίου τρεῖς ἀνέκδοτοι ἐπιστολαὶ καὶ τέσσαρες ἕτεραι Γρηγορίου Καρδάμη, ἡγουμένου Βατοπεδίου» (ἐν Κωνσταντινουπόλει 1874, σ. 211-219). Τὸ μὴ σπάνιον παρὰ τοῖς φιλολόγοις ἀβλέπτημα τοῦ μακαρίτου Εὐελπίδου κατεστήσαμεν ἡμεῖς φανερὸν ἔτει 1892-ῳ, ὅτε τὰς αὐτὰς ἐπιστολὰς ἐξ ἄλλου τινὸς κώδικος ἀνεδημοσιεύσαμεν, σημειώσαντες καὶ τὰς ἐν ταῖς προτέραις δυσὶν ἐκδόσεσι διαφορότητας [1]. Οὕτω λοιπὸν ὁ κ. Λάμπρος τρεῖς ἐπιστολὰς ἐν τῷ Διονυσιακῷ κώδικι τὸ ὄνομα φερούσας τοῦ Φωτίου, κατακεχωρισμένας δὲ ἐν τρισὶ διαφόροις βιβλίοις, ἀλλὰ μὴ περιεχομένας ἐν ταῖς τελείαις θεωρουμέναις συλλογαῖς τῶν ἐπιστολῶν τοῦ Φωτίου, ἀπηρίθμησεν ἐν τῷ καταλόγῳ του ὡς τύποις ἀνεκδότους· ἐσημείωσεν αὐτόθι πάλιν ὁ αὐτός, ὅτι ταῖς ἐπιστολαῖς ἐκείναις συνέπονται ἐν τῷ αὐτῷ κώδικι τέσσαρες ἕτεραι ἐπιστολαί, ὧν τρεῖς ἔχουσι τοὺς ἀριθμοὺς ψλγ', ψνς' καὶ ͳξς', καὶ ἐκ τούτου ὑπέθεσεν, ὅτι αὗται προήρχοντο ἐκ τελείας τινὸς ἀγνώστου συλλογῆς τῶν ἐπιστολῶν τοῦ Φωτίου. Μετὰ τὴν παραλαβὴν τοῦ ἀντιγράφου τοῦ κ. Λοπαρέβου παρατηρήσαντες ἡμεῖς, ὅτι ἀντὶ τεσσάρων εἴχομεν ἐπιστολὰς ἐν τῷ κώδικι τῆς μονῆς τοῦ Διονυσίου τέσσαρας καὶ εἴκοσιν, εὑρισκομένας ἀμέσως μετὰ τὰς προρρηθείσας τρεῖς, ὅλως δὲ ἀνωνύμους καὶ στενώτατα συνηνωμένας αὐταῖς, ἀλλ' οὐδόλως εὑρισκομένας ἐν ταῖς συλλογαῖς τῶν φωτιακῶν ἐπιστολῶν, ἑπόμενον ἦτο, στηριζόμενοι εἰς τὴν αὐθεντίαν τοῦ κ. Λάμπρου, νὰ παραδεχθῶμεν ἀσυζητητὶ τὴν γνώμην αὐτοῦ, καὶ τοῦτο διότι καὶ ἡμεῖς αὐτοὶ πεῖραν ἐλάβομεν ἐκ τοῦ κώδικος τῆς μονῆς τῶν Ἰβήρων περὶ τῆς ὑπάρξεως ἔτι ἐν τοῖς

[1] Φωτίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τὸ περὶ τοῦ Τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπομνημάτιον καὶ ἄλλα τινὰ πονημάτια τοῦ αὐτοῦ ἑλληνιστί τε καὶ ἀρμενιστὶ γεγραμμένα. Ἐν Πετρουπόλει 1892, σ. 171-174.

χειρογράφοις ἀτυπώτων ἐπιστολῶν τοῦ Φωτίου. Παραδεξάμενοι λοιπὸν οὕτως ἀνεξελέγκτως ὡς ὀρθὴν τὴν γνώμην τοῦ κ. Λάμπρου καὶ παρ' αὐτοῦ δὲ τοῦ κώδικος τῆς μονῆς τοῦ Διονυσίου μηδεμίαν λαβόντες ἀφορμὴν εἰς ἔκφρασιν δισταγμοῦ περὶ τῆς ὀρθότητος τῆς γνώμης τοῦ κ. Λάμπρου, τὸ ἀντίγραφον λοιπὸν τοῦ κ. Λοπαρέβου, ὡς ἐκ τοῦ κώδικος ἐκείνου πιστῶς ἐλήφθη, διαιρέσαντες, κατὰ τὰ ἐν αὐτῷ σημεῖα, εἰς εἰκοσιτέσσαρας ἀριθμούς, κατεχωρίσαμεν ἐν τῷ ἡμετέρῳ βιβλίῳ Sanctiss. patriarchae Photii epistolae XLV, ἀποτελέσαντες οὕτω σειρὰν πέντε καὶ τεσσαράκοντα ἐπιστολῶν. Αἱ ἐκ τοῦ κώδικος τῆς μονῆς τοῦ Διονυσίου ἐπιστολαὶ κατὰ τὸ περιεχόμενον αὐτῶν οὐδεμίαν εἶχον σχέσιν πρὸς τὸν βίον τοῦ πατριάρχου Φωτίου, ἀλλ' ἦσαν ἁπλῶς πλήρεις ἠθικῶν διδαγμάτων· τὸ δὲ ἀντίγραφον αὐτῶν, ὡς ἐδόθη ἡμῖν ὑπὸ τοῦ κ. Λοπαρέβου, κατέλαβεν ἐν τῷ ἡμετέρῳ βιβλίῳ σελίδας περίπου ἕνδεκα.

Μέχρι πρὸ χρόνου τινὸς εἴχομεν τὴν βεβαιότητα, καθὰ καὶ ὁ κ. Λάμπρος, ὅτι αἱ ἐν τῷ κώδικι τῆς μονῆς τοῦ Διονυσίου ἐπιστολαί, τουτέστιν αἱ καταχωρισθεῖσαι παρέργως ἐν τῷ ἡμετέρῳ βιβλίῳ (σ. 39-49), παρίστων ἐπιστολὰς ἀληθεῖς τοῦ πατριάρχου Φωτίου, καὶ τοῦτο διότι καὶ τὸ ὕφος αὐτῶν ἦτο οὕτως ἁδρὸν καὶ γενναῖον, ὅσον καὶ τὸ τῶν ἀληθῶν τοῦ Φωτίου ἐπιστολῶν. Τὸ ὅλως ἀνώνυμον αὐτῶν, ἡ τούτων στενωτάτη ἐν τῷ κώδικι σύνδεσις μετὰ τριῶν ἐπιγεγραμμένων καὶ πραγματικῶν τοῦ Φωτίου ἐπιστολῶν καὶ ἡ παντελὴς ἔλλειψις ὀνομάτων, πρὸς ἅ ποτε θἀπευθύνοντο, πλὴν τριῶν, εἴκοσι καὶ μία τῶν ἐπιστολῶν ἐκείνων, ἦσαν ἄλλως δι' ἡμᾶς καὶ λόγοι ἰσχυροί, ὅπως ἀποδεχθῶμεν ἀσυζητητὶ τὴν γνώμην τοῦ κ. Λάμπρου. Καὶ μέχρι πρὸ μηνῶν τινων ἀντειχόμεθα λοιπὸν τῆς γνώμης αὐτοῦ· ἀλλ' ἐπειδὴ κατόπιν ἐκ τυχαίας συμπτώσεως περιῆλθεν εἰς χεῖρας ἡμῶν ἓν φύλλον ἐφημερίδος, τυπουμένης ἐν Κωνσταντινουπόλει [1], δι' οὗ ἐμανθάνομεν, ὅτι ὁ μὲν ἐλλόγιμος μοναχὸς Ἰάκωβος ὁ Διονυσιάτης ἀντιγράψας καὶ αὐτὸς ἀπέστειλε τὰς ἐν τῷ Διονυσιακῷ 163-ῳ κώδικι ῥηθείσας ἐπιστολὰς εἰς τὸν Ἑλληνικὸν Φιλολογικὸν Σύλλογον ὡς ἐπιστολὰς ὡσαύτως

[1] Νέα Ἐφημερίς, 16 Ἰανουαρίου 1897, ἀριθ. 1789.

τοῦ πατριάρχου Φωτίου, ἕτερος δ' ἐλλογιμώτατος μοναχός, Ἀλέξανδρος ὁ Λαυριώτης, ἐπέκρινε τὸν Ἰάκωβον καὶ ἐβεβαίου, ὅτι τέσσαρες τῶν ἐπιστολῶν ἐκείνων (ἡμέτεροι ἀριθμοί: 9, 10, 11, καὶ 12, σ. 41-45) ἦσαν ἐπιστολαὶ γνωσταὶ Ἰσιδώρου τοῦ Πηλουσιώτου, ἡμεῖς οὕτως ἐκ τῆς τοιαύτης ἀπροσδοκήτου, ἀλλὰ καὶ ὀρθῆς παρατηρήσεως τοῦ μοναχοῦ Ἀλεξάνδρου, ὑπωπτεύσαμεν ὅτι καὶ αἱ λοιπαὶ εἴκοσι τῶν ἐν τῷ Διονυσιακῷ χειρογράφῳ ἐπιστολῶν θὰ ἦσαν ὡσαύτως ἐπιστολαὶ τοῦ Ἰσιδώρου. Ποιήσαντες λοιπὸν τὴν πρὸς τοῦτο σχετικὴν ἔρευναν ἐβεβαιώθημεν ἀληθῶς, ὅτι εἴκοσι καὶ τρεῖς τῶν ἐν τῷ 163-φ κώδικι τῆς μονῆς τοῦ Διονυσίου ἐπιστολῶν εἶναι πραγματικῶς ἐπιστολαὶ Ἰσιδώρου τοῦ Πηλουσιώτου, μία δὲ καὶ μόνη, ἡ παρ' ἡμῖν ὑπ' ἀριθ. 18 (σελ. 47), δὲν εὑρέθη ἐν τῇ συλλογῇ τῶν Ἰσιδωρείων ἐπιστολῶν. Οὕτως ἐν τῷ ἡμετέρῳ βιβλίῳ ἀντὶ πέντε καὶ τεσσαράκοντα μένουσιν ἐπιστολαὶ πραγματικαὶ τοῦ πατριάρχου Φωτίου εἴκοσι καὶ μία, τέως ἄγνωστοι (σ. 1-38), μία δὲ καὶ μόνη ἀμφίβολος (σελ. 47, ἀριθ. 18)· πᾶσαι λοιπὸν αἱ μέχρι σήμερον γνωσθεῖσαι γνήσιαι ἐπιστολαὶ τοῦ Φωτίου ἀνέρχονται εἰς τὸν 287-ον καὶ οὐχὶ εἰς τὸν 311-ον ἀριθμόν, ὡς εἴχομεν ἐξαριθμήσει πρότερον. Ἐντεῦθεν βλέπει τις ἐμπράκτως ὁπόσον εἶναι δύσκολος ὁ χαρακτηρισμὸς ὅλως ἀνωνύμων ἐπιστολῶν, ἐν τοῖς κώδιξιν εὑρισκομένων, καὶ εἰς ὁποίας ἀκουσίους ἀτυχίας περιπίπτει καὶ μετὰ μακρὰν ἔρευναν ὁ τούτων ἀναγραφεὺς ἢ ἐκδότης.

Καθιστῶντες ἤδη ταῦτα γνωστὰ ἐξ εἰλικρινοῦς διαθέσεως πρὸς τοὺς ἀναγνώστας τοῦ ἡμετέρου βιβλίου, ὅπερ ἐμπεριέλαβεν ἐκ φιλικῆς προσφορᾶς τοῦ κ. Λοπαρέβου τὸ ἀντίγραφον τῶν ἐν τῷ 163-φ κώδικι τῆς μονῆς τοῦ Διονυσίου ἐπιστολῶν, ἀναγράφομεν τέλος ἐνταῦθα τὸν ἀριθμὸν καὶ τὴν ἐλλείπουσαν ὅλως τῷ κώδικι ἐπιγραφὴν αὐτῶν, ὡς αὐτὴν ἔχει τῶν Ἰσιδωρείων ἐπιστολῶν ἡ συλλογή.

1. Βιβλ. Ε', τμδ'. Ἀσκληπιῷ σοφιστῇ.
2. Βιβλ. Γ', ς'. Ἥρωνι σχολαστικῷ.
3. Βιβλ. Ε', ρα'. Πέτρῳ.
4. Βιβλ. Ε', ν'. Εὐτονίῳ διακόνῳ.

5. Βιβλ. Ε΄, νη΄. Ἐπιφανίῳ διακόνῳ.
6. Βιβλ. Α΄, τκε΄. Κύρῳ νέῳ μοναχῷ.
7. Βιβλ. Α΄, υμϛ΄. Παλλαδίῳ.
8. Βιβλ. Ε΄, φλθ΄. Ζωσίμῳ, Μάρωνι καὶ Χαιρήμονι.
9. Βιβλ. Β΄, σλγ΄. Μαρτινιανῷ.
10. Βιβλ. Β΄, σνζ΄. Εὐτονίῳ διακόνῳ.
11. Βιβλ. Γ΄, ρξζ΄. Μάρωνι.
12. Βιβλ. Ε΄, φξε΄. Ἰωάννῃ σχολαστικῷ.
13. Βιβλ. Γ΄, λϛ΄. Χαιρήμονι, Ζωσίμῳ, Μάρωνι, Εὐσταθίῳ.
14. Βιβλ. Ε΄, υζ΄. Ἥρωνι μονάζοντι.
15. Βιβλ. Ε΄, σξα΄. Ἰσχυρίωνι.
16. Βιβλ. Ε΄, σμβ΄. Εὐτονίῳ διακόνῳ.
17. Βιβλ. Β΄, νδ΄. Ἀπολλωνίῳ.
19. Βιβλ. Α΄, τοε΄. Κύρῳ περὶ πενίας.
20. Βιβλ. Α΄, τοϛ΄. Τῷ αὐτῷ περὶ πενίας.
21. Βιβλ. Α΄, σοϛ΄. Χαιρήμονι.
22. Βιβλ. Γ΄, ιϛ΄. Ἐλισσαίῳ μοναχῷ.
23. Βιβλ. Α΄, υκα΄. Κυρηνίῳ.
24. Βιβλ. Α΄, υκ΄. Κυρηνίῳ.

---

## Β΄.

### Διάφορα ἀναγνώσματα γνωστῶν τινων ἐπιστολῶν τοῦ πατριάρχου Φωτίου.

Α΄. Τῆς μεγάλης ἀπολογητικῆς πρὸς τὸν πάπαν Νικόλαον ἐπιστολῆς (Τόμος Χαρᾶς, τυπωθεὶς ἐν τῇ ἐπισκοπῇ Ῥημνίκου 1705. Jager, Histoire de Photius. Louvain 1845, σ. 404-407. Migne τ. 102, σ. 593, epist. II. Βαλέττα ἀριθ. 3) παρήγαγε μέγα μέρος Ἰωάννης ὁ Βέκκος τῇ δεκάτῃ καὶ τρίτῃ ἑκατονταετηρίδι ἐν τῷ «περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης» λόγῳ του (Migne τ. 141, σ. 929-936). Τὸ μέρος ἐκεῖνο περιλαμβάνει τὸ ϛ΄ κεφάλαιον τῆς ἐπιστολῆς (Βαλ. σ 152-158) καὶ τὰς πρώτας λέξεις τοῦ ζ΄ κεφαλαίου· ἄρχεται λοιπὸν οὕτως· «Ἐπεὶ δὲ δι᾿ ἡμᾶς σὺν ἡμῖν καὶ οἱ πρὸ ἡμῶν» κτλ. Ἐκ τοῦ ἀντιγράφου τοῦ

Βέκκου παρατηροῦμεν, ὅτι ὁ ὑπ' ὄψει αὐτοῦ κῶδιξ εἶχέ τινας διαφορότητας, τὰς ὁποίας, μὴ χρησιμοποιηθείσας εἰσέτι, καθιστῶμεν γνωστὰς ἐνταῦθα διὰ τοῦ γράμματος Β.—Βαλέττα σελ. 153, γρ. 4. Τὴν λέξιν *ἱερωσύνην* ἀνέγνω ὁ Βέκκος ἐν τῷ ὑπ' ὄψει του κώδικι ἄλλως· ἐκεῖ δηλαδὴ ἔκειτο τὸ *ἀρχιερωσύνην*.—Γρ. 6 φεύγουσιν] *ἐκφεύγουσιν* Β ‖ ἣν καὶ] *ἢ* Β.—7 ἱερατικὴν] *ἀρχιερατικὴν* Β.—8 τύπον τὸν] τὸ *τὸν* ἐλλείπει τῷ Β.—14 σταθερᾶς] *καθαρᾶς* Β ‖ καινοποιὸν] *κακοποιὸν* Β ‖ ἃ] τοῦτο ἐκ διορθώσεως τοῦ Βαλέττα ἀντὶ τοῦ ἐν ταῖς προτέραις ἐκδόσεσιν *ἂν*· ὁ κῶδιξ Β κυροῖ τὴν βαλέττειον διόρθωσιν.— Σελ. 154, γρ. 5 τὰ ἄλλα] *τἄλλα* Β.—8 τοῦ Ἀβραὰμ τῆς περιτομῆς] *τῆς περιτομῆς τοῦ Ἀβραὰμ* Β—10 αὐτὸν] *ἑαυτὸν* Β ‖ *τολμᾷ* ἐκ διορθώσεως τοῦ Βαλέττα, κυρουμένης ὑπὸ τοῦ Β· πρότερον ἀνεγινώσκετο τὸ *τολμῶ*.—13 σφοδρῶς] ἐλλείπει τοῦτο τῷ Β.—20 οὗ] *οὐ* Β.— Σελ. 155, γρ. 7 κατακρατεῖν] *κρατεῖν* Β.—Σελ. 156, γρ. 8 ἀναρπάζειν] *ἀναβιβάζειν* Β.—9 καὶ βαθμὸν] ἐλλείπει τῷ Β.— 15 ἀτιμώρητος] *ἀτιμώρητος μείνασα* Β.—16 οὔ τοί] *οὔ τι* Β.—17 ἀνδρῶν] *ἀνδρῶν τὴν ἀλήθειαν* Β· τὸ *ἀλήθειαν* ἐν ταῖς ἐκδόσεσι κεῖται μετὰ τὸ *ἤκουσα* ‖ τὴν Ἀλεξανδρέων] *τὴν τῶν Ἀλεξανδρέων* Β.—19 μονάσαντος] *μονάζοντος* Β.—Σελ. 157, γρ. 1 πῶς γὰρ οὐκ ἂν] *πῶς ἂν οὐ* Β.—3 τοῦ ἄλλου] *ἄλλου* Β.—4 συνωμολόγηται] *συνομολογεῖται* Β.—8 ἐπιπροσθείη] *ἐπίπροσθε θείη* Β. — 11/12 ἀκόλουθον] *ἀκώλυτον* Β.

Β'. Ὁ αὐτὸς Βέκκος παρήγαγεν ἐν τῷ «περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης» λόγῳ αὐτοῦ καὶ μέγα μέρος τῆς «ἐγκυκλίου ἐπιστολῆς πρὸς τοὺς τῆς Ἀνατολῆς πατριάρχας» (Migne 141, τ. 936-937), ἀποτελοῦν ἱκανὰ κεφάλαια αὐτῆς, κατὰ τὴν βαλέττειον διαίρεσιν (ς'-θ')· ὅπερ ὡσαύτως ἔμεινεν ἀπαρατήρητον ὑπὸ τῶν μελετητῶν τῆς ἐπιστολῆς ἐκείνης. Ὁ κῶδιξ τοῦ Βέκκου παρουσιάζει τὰς ἑξῆς διαφορότητας. — Βαλ. σελ. 168, δ', γρ. 8 πονηρᾶς] *πονηρᾶς τε* Β ‖ Ἡ γὰρ - - τραπείσης δάκρυα] ἐλλείπουσι ταῦτα τῷ Β.—11 ἐκείνου τοῦ ἔθνους] *τοῦ τῶν Βουλγάρων ἔθνους* Β.—20/21 κατεπανουργήσαντο] *κατεπανουργεύσαντο* Β.—22 ἐκθέσμως] *οὐχ ὁσίως* Β.—Σελ. 170, γρ. 9

μακρὸν] *μιαρὸν* B (ὅπερ οὐκ ὀρθόν). — 13 ἱερεῖ] *ἱερεῖς* B.—Σελ. 171, γρ. 2 ἀπεληλαμένος] *ἀπεληλασμένος* B.—5 πῶς, ἧς] *πῶς, εἶ* B.—19 τοῦ πνεύματος δὲ] *τοῦ δὲ πνεύματος* B.

Γ'. Βαλέττα ξγ', σ. 367. Montac. epist. ρμζ'. Migne πβ'. Οἰκονόμ. πα'.—Τὴν ἐπιστολὴν ταύτην ἔχει καὶ ὁ 684-ος κῶδιξ τῆς μονῆς τῶν Ἰβήρων ἐν τῇ 501 σελίδι ὑπ' ἀριθ. ρξζ'· ἀλλὰ τὸ κείμενον αὐτῆς ἐκεῖ περιέχει ἐν ἑαυτῷ τὰς ἑπομένας διαφορότητας. Τὸ ἐν τῇ ἐπιγραφῇ *Λαλάκωνας* ἐξελήφθη ὡς ἐπώνυμον οἰκογενειακόν· ἀλλὰ κατὰ τὸν κώδικα τῆς μονῆς τῶν Ἰβήρων, ὃν ἐνταῦθα συντομίας χάριν ὀνομάζω I, ἀντὶ τοῦ *Λαλάκωνας* ἀναγνωστέον *Λάκωνας*· ὅπερ, ὡς ἔχει, παρουσιάζει τὸν Θεόδοτον σπαθαροκανδιδᾶτον «κατὰ τοὺς Λάκωνας». Ἕτεραι διαφορότητες εἶναι αἱ ἑπόμεναι.— Βαλ. σελ. 367, γρ. 3 τὸ πρὸ τοῦ *εὐτραπελίαις* ἄρθρον *οἱ*, ὅπερ μόνον ἐκ τῆς ἐκδόσεως τοῦ Οἰκονόμου, κατὰ τὸν λαυριωτικὸν τῶν Ἀμφιλοχίων κώδικα, ἐγινώσκετο καὶ παρεδέξατο δικαίως ὁ Βαλέττας, εὑρίσκεται καὶ ἐν τῷ I.—Γρ. 3 ἀργολογίαις] *εἱρμολογίαις* (ά) I. — 5 καθυποβάλλουσι] *καθυποβάλλωσι*. — 9 ματαιοποιοῦσιν] *μεταποιοῦσιν* I. — 11 ἐμματαΐζοντες] *ἐμματαιάζοντες* I. — 13 καὶ τὴν] τὸ *τὴν* παραλείπει τὸ I.

Δ'. Βαλ. ξδ', σ. 368. Montac. epist. ρνα'. Migne πγ'. Οἰκον. πβ'.—Τὸ I ἔχει τὴν ἐπιστολὴν ταύτην ὑπ' ἀριθ. ρο' ἐν τῇ 503-η σελίδι. Κατὰ τὰς ἐκδόσεις ἐστάλη τῷ σπαθαροκανδιδάτῳ Θεοδότῳ, ἀλλὰ κατὰ τὸ I ἐστάλη «*Ἰωάννῃ πρωτοσπαθαρίῳ καὶ δρουγγαρίῳ τοῦ πλοΐμου*»· διαφορότητας δὲ τὸ ἐν τῷ I κείμενον ἔχει τὰς ἑξῆς μόνας· ἀντὶ τῆς λέξεως *φῦλον* τὸ I γράφει *τυφλὸν* καὶ ἀντὶ τοῦ *δεσπόζουσι* γράφει *σπουδάζουσι*, παραλείπει δὲ καὶ τὸν πρὸ τοῦ *μεθόδῳ* σύνδεσμον *δέ*.

Ε'. Βαλ. ρκζ', σ. 447-448. Montac. ρν'. Migne III, μς'. Κατὰ τὰς ἐκδόσεις ἐπιγράφεται «Ἰωάννῃ πρωτοσπαθαρίῳ καὶ δρουγγαρίῳ τοῦ πλοΐμου»· ἀλλ' ὁ κῶδιξ I ἐπιγράφει «*Μητροφάνῃ* (ει) *μοναχῷ καὶ ἡσυχαστῇ, τῷ ἐκ Σικελίας*», καὶ δίδωσι τῇ ἐπιστολῇ τὸν ρξθ' ἀριθμὸν (σ. 502). Κατὰ τὸ I κυροῦται

ἡ γραφὴ τοῦ *τυφλόν*, ἣν ὁ Βαλέττας ἐνέκρινε· κυροῦται δὲ καὶ ἡ τοῦ Μοντακουτίου διόρθωσις ἐν τῷ *ὑπερηχείτω* καὶ τὸ πρὸς τῷ τέλει τῆς ἐπιστολῆς *ταύτης*.

ϛ'. Βαλ. ρμα', σ. 455-456. Migne III, ξζ'. Ἐν τῷ κώδικι I ἀριθ. σπη', σ. 714-715.—Βαλ. σ. 455, γρ. 2 ἀπ' ὀρθῆς] *ἀπορθῆς* I—5 ἑαυτῶν] *αὐτῶν* I || λαμβάνει] *λαμβάνειν* I.—12 κἂν] *καὶ ἐν* I.—14 τοὺς ἐμοὺς π. λογισμούς] *τοῖς ἐμοῖς π. λογισμοῖς* I.—23 ὅσα ἂν] *ὅσα* I—24 ἐπιστρέφωμαι] *ἐπιστρέφωμαι* I.—25 οὗ με δεῖ] *οὗ δεῖ* I.—Σελ. 456 γρ. 1 καὶ πρὸς μ. τ. π. ἐκτείνῃ] *καὶ μ. τ. π. ἐκτείνει* I || θεραπεύειν] *θεραπεύσειν* I.—3 τιμιώτερον] *τὸ τιμιώτερον* I.

Ζ'. Βαλ. ρνθ', σ. 494-495. Montac ϛ'. Migne I, ϛ'. — Τὴν ἐπιστολὴν ταύτην εὗρεν Ἰωάννης ὁ Σακκελίων ἔν τινι πατμιακῷ κώδικι καὶ τὰς ἐξ αὐτοῦ διαφορότητας κατεχώρισεν ἐν τῷ *Ἀθηναίῳ*, τ. Θ', σ. 290. Τὴν αὐτὴν ἐπιστολὴν ἔχει καὶ ὁ κῶδιξ I ὑπ' ἀριθ. κθ' ἐν τῇ 383-ῃ σελίδι. Ἀμφοτέρων δὲ τούτων τῶν κωδίκων τὰς διαφορὰς παρατιθέμεθα ἐνταῦθα.—Βαλ. σ. 494, γρ. 1 ἐμαυτὸν] *ἑαυτὸν* III.—Βαλ. σ. 495, γρ. 1 ἀπεδυσπέτουν] *ἀπωδυρώμην, ἀπεδυσπέτουν* II. — 6 συνεῖχεν] *συνέχεεν* III. — 10 αὐτὰ] *αὐτά με μεταδιδάσκει* II. Ὁ κῶδιξ I, ὡς ὁ Βαλέττας εἴκασεν, *αὐτά με διδάσκει* || τὸ *ἐμήν*, ὅπερ ἐν τῷ κειμένῳ προσέθηκεν ὁ Migne καὶ κατὰ τοῦτον ὁ Βαλέττας, ὑπάρχει ἐν τῷ I.—12 Ὅτε] *τούς τε* I.—13 φαυλιζομένους] *φυλακιζομένους* I. — 15 ἐπιτεθέν μοι] *ἐπιτιθέν μοι* I, *ἐπ' ἐμὲ τεθὲν* II.—16 ἔχων] *ἐχόντων* I.—18 γλῶσσαν] *γλῶτταν* II || φορῶν] *φοβερῶν* II.—21 περὶ] ἐλλείπει τῷ II || *ὑπόψιν* I.—23 ἐξέπεσα] *ἐξέπεσον* II.—24 αἵματι] *αἵμασιν* II || δ' ἐστὶ τὸ λοιπὸν] *δέ ἐστι λοιπὸν* I.—25 ὡς, εἰ] *ὡσεὶ* I.—26 ἐστὶν ὑμῖν] *ἐν ὑμῖν* I, *ἡμῖν ἐστι* II || ἡμῶν] *ὑμῶν* I.—30 ἀναφυσωμένων] ἐν τῷ I, ὡς ὁ Βαλέττας ὀρθῶς εἴκασεν, *ἀναφυομένων*· ἐν τῷ II *ἀναφαινομένων*.

Η'. Βαλέττα ρξα', σ. 496-500. Montac. ριζ'. Migne II, πγ'. Τῆς αὐτῆς ἐπιστολῆς ἀναγνώσματα διάφορα ἐξέδωκε, κατὰ τὸν 178-ον πατμιακὸν κώδικα, ὁ Σακκελίων [*Ἀθήναιον*, τ. Θ', σ.

293]. Κατὰ τὸν κώδικα τοῦτον ἡ ἐπιστολὴ ἄρχεται ἀπὸ τῶν λέξεων· «Ἀλλὰ γάρ, εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται» κτλ. (Βαλ. σ. 498). Οὕτως ἄρχεται καὶ ἐν τῷ 160-ῷ κώδικι τῆς μονῆς τῶν Ἰβήρων, φ. 113α [1], ὃν ὀνομάζω ἐνταῦθα Ιβ, καὶ ἐν τῷ ἑτέρῳ 684-ῳ κώδικι ὑπ' ἀριθ. ρμα', σ. 458. — Βαλ. σ. 498, γρ. 6 ἔχον] *ἔχων* Ιβ ‖ Ἰσμαηλιτῶν] *ἰσμαϊλιτῶν* Ιβ.— 7 πρέσβεις] *πρέσβυς* Ιβ. — 9 ᾔδεσαν] *εἴδησαν* Ιβ. — 15 ἐνέδραν] *ἔνεδραν* Ιβ. — 16 κατηγόρους] *κατήγορον* Ιβ. — 17 προενεγκεῖν] *προσενεγκεῖν* Ιβ.—17/18 αἰτιάσασθαι, εἰ τόδε] *αἰτιάσασθαι μηδὲ πύθεσθαι, ει τόδε* ΙΙΙ. — 26 ἤδη γὰρ] *ἤδη γὰρ ἤδη* ΙΙΙ.—Σελ. 499, γρ. 1 *ὑπερεβάλλετο* Ι ‖ μηδὲν τούτῳ] *μηδ' ἐν τούτῳ* Ι, κατὰ τὴν βαλέττειον εἰκασίαν.—3 τοσούτου] τοσούτῳ Ι ‖ *συμπαρεισδύετο* Ι.—4 ὅπερ ἐνταῦθα προσέθηκε *τὸ* ὁ Βαλέττας, εὑρίσκεται ἐν τῷ Ι πρὸ τῆς λέξεως (5) *ἀλάθητον*.—15 *ἐξαπορήσαιμεν ὅλως* Ι. — 18 *πλήρης* Ι. — 19 ἀναμφηρίστοις πίστεσι λαβεῖν] *ἀναμφηρίστοις λαλεῖν* Ι.— 20 *κἂν* ἀντὶ τοῦ *καὶ* ἐκ διορθώσεως τοῦ Μοντακουτίου· οὕτω καὶ ἐν τῷ Ι. — 21 αὐτῇ] *αὕτη* Ι. — 28 ἀρρήτων] *ἀπορρήτων* Ι.—Σελ. 500, γρ. 3 συνεπιζευγνῦσα] *ἐπιζευγνῦσα* Ι.—4 *ἀρίστην τε καὶ* Ι.

Θ'. Βαλ. ροε', σ. 506-507. Montac. ζ'. Migne II, ξη'. Ἐν τῷ κώδ. Ι ἀνεπίγραφος ὑπ' ἀριθ. λ', σ. 384. Τὸ ἐν τῷ τελευταίῳ κώλῳ *λέγομεν* ὁ κῶδιξ οὗτος ἐθέλει *λέγωμεν*.

Ι'. Βαλ. ρξ', σ. 496. Montac. η'. Migne I, ζ'. Ἐν τῷ κώδικι Ι ὑπ' ἀριθ. λα' (σ. 384) ἀνεπίγραφος· εὑρίσκεται καὶ ἐν τῷ ΙΙ. Ὅρα Σακκελ. ἐν τῷ *Ἀθηναίῳ*, τ. Θ', σ. 292.—Βαλ. σ. 496, γρ. 4 πολλοὺς καθ' ἑκάστην] *καθ' ἑκάστην πολλοὺς* ΙΙ. — 7 ἐπισκοπεῖν] *ἐπισκοπῶν* ΙΙ.—8 ὅπως] *πῶς* ΙΙ. — 9 εἶναι] *οὖν* ΙΙ.—12 μήποτε] *μὴ τότε* ΙΙ.—13 οἰκειοτάτων] *οἰκείων* ΙΙ.— 14 τοῦτον διὰ παντὸς] *διὰ παντὸς τοῦτον* ΙΙ. — 16 προστάγμασι] *πράγμασι* ΙΙ ‖ ἡμῖν] *ἡμῶν* Ι.

ΙΑ'. Βαλ. ρπγ', σ. 511. Montac. με'. Migne II, νγ'.—Ἐν

[1] Οὗτος ὁ κῶδιξ ἐγράφη τῇ ις' ἑκατονταετηρίδι· συνίσταται ἐκ φύλλων χάρτου 291 (0,19×145=0,143×0,09) καὶ περιέχει τὸ ὅλον ἐπιστολὰς τοῦ Φωτίου σμθ'.

τῷ 160-ῷ κώδικι τῆς μονῆς τῶν Ἰβήρων ὑπ' ἀριθ. μϛ', φ. 72, ἔνθα αἱ πρῶται λέξεις «Ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ» δὲν εὑρίσκονται, τῆς ἐπιστολῆς ἀρχομένης ἀπὸ τῶν λέξεων «Ὁ μυσταγωγὸς τὴν μέθην» κτλ. Ἐν τῷ προτελευταίῳ κώλῳ ὁ αὐτὸς κῶδιξ ἀντὶ τῶν *ἀμύνοντος, μὴ παντὶ* ἔχει τὰ *ἀμείνοντος, μὴ πάντα*·

ΙΒ'. Φωτίου τὰ Ἀμφιλόχια ἐκδ. Οἰκονόμου. σ. 206-207, ἀριθ. ρλ'. Migne τ. 101, σ. 696-701, ἀριθ. ριθ'. Ἐν ταῖς δυσὶ ταύταις ἐκδόσεσι φέρεται τοῦ Φωτίου ἀπόκρισις πρὸς Ἀμφιλόχιον περὶ τοῦ ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε» (Ἰωάν. α', 18). Ἀλλ' ἡ ἀπόκρισις αὕτη φέρεται καθαρῶς μεταξὺ τῶν ἐν τῷ 684-ῳ κώδικι τῆς μονῆς τῶν Ἰβήρων ἐπιστολῶν τοῦ Φωτίου, ἐν δὲ τοῖς ἐν τῷ αὐτῷ κώδικι περιεχομένοις Ἀμφιλοχίοις οὐδόλως ἐμπεριέχεται· καὶ ἐπιγράφει τὴν ἐπιστολὴν ταύτην οὗτος ὁ κῶδιξ οὕτω· «Τῷ φιλοχρίστῳ καὶ μεγάλῳ βασιλεῖ Βασιλείῳ, ἀρξαμένῳ γράφειν καὶ ἀποριῶν τινων ἐπιζητήσαντι λύσεις»· δίδωσι δὲ ταύτῃ ἀριθμὸν ὁ κῶδιξ τὸν σξζ' (σ. 677).

À la Bibliothèque du Vatican
de la part de l'auteur
AP.-Kérameus



ΜΟΥΣΕΙΟΝ ΚΑΙ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ ΣΧΟΛΗΣ



# ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ

## ΤΗΣ ΕΝ ΣΜΥΡΝΗι ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΗΣ ΕΥΑΓΓΕΛΙΚΗΣ ΣΧΟΛΗΣ

ΜΕΤΑ ΠΑΡΑΡΤΗΜΑΤΟΣ ΠΕΡΙΕΧΟΝΤΟΣ ΚΑΙ ΤΙΝΑ ΑΝΕΚΔΟΤΑ

ΥΠΟ

**Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΤΟΥ ΚΕΡΑΜΕΩΣ**

Ἐπιμελητοῦ τῆς Βιβλιοθήκης καὶ τοῦ Μουσείου τῆς Εὐαγγελικῆς Σχολῆς.

Δαπάνῃ Ἀνωνύμου.

ΣΜΥΡΝΗ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ο «ΤΥΠΟΣ».

(Ἐντὸς τῆς Εὐαγγελικῆς Σχολῆς ἀριθ. 8).

1877.

# ΕΡΓΑ ΤΟΥ ΑΥΤΟΥ.

---

Τὰ ἀρχαῖα σμυρναϊκὰ σταθμὰ τοῦ Μουσείου τῆς Εὐαγγελικῆς Σχολῆς (μετὰ πέντε πινάκων)—Σμύρνη, 1875. εἰς 8ον.

Ἡ λιθίνη ἐποχὴ ἐν τῇ Μικρᾷ Ἀσίᾳ (μεθ' ἑνὸς πίνακος)—Σμύρνη, 1875. εἰς 8ον.

Ἔκθεσις περὶ τῶν ἐν τῇ Βιβλιοθήκῃ τῆς Παλαιᾶς Φωκαίας ἑλληνικῶν χειρογράφων.—Σμύρνη, 1876. εἰς 4ον.

Beitraege zur inschriftlichen Topographie von Klein-Asien.—Berlin, 1876. εἰς 8ον (Auszug aus dem Monatsbericht der Akademie der Wissensch.)

Κατάλογοι ἐπισκοπῶν, μετά τινων ἀνεκδότων ἐπιγραμμάτων καὶ στιχουργημάτων τοῦ ιζ' καὶ ιη' αἰῶνος. Ἐκ χειρογράφων τῆς Βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς. (Μουσ. καὶ Βιβλ.)—Σμύρνη, 1876. εἰς 8ον.

Περὶ τῆς ὁλκῆς τῶν ἀρχαίων σμυρναϊκῶν σταθμῶν τοῦ Μουσείου τῆς Εὐαγγελικῆς Σχολῆς (μεθ' ἑνὸς πίνακος.)—Σμύρνη, 1877. εἰς 4ον.

Περί τινος μήτρας σταθμῶν ἀνακαλυφθείσης μὲν ἐν Ὑπαίποις εὑρισκομένης δὲ ἐν τῷ Μουσείῳ τῆς Εὐαγγ. Σχολῆς (μεθ' ἑνὸς πίνακος.)—Σμύρνη, 1877. εἰς 4ον.

Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ Βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς. Μετὰ παραρτήματος περιέχοντος καί τινα ἀνέκδοτα.—Σμύρνη, 1877. εἰς 4ον.

# СБОРНИКЪ

## ГРЕЧЕСКИХЪ и ЛАТИНСКИХЪ ПАМЯТНИКОВЪ

## КАСАЮЩИХСЯ ФОТІЯ ПАТРІАРХА

ИЗДАЛЪ

А. ПАПАДОПУЛО-КЕРАМЕВСЪ

ПЕРВЫЙ ВЫПУСКЪ

С.-ПЕТЕРБУРГЪ
Типографія В. Киршбаума, Дворц. площ., д. М-ва Финансовъ
1899

# СБОРНИКЪ

## ГРЕЧЕСКИХЪ и ЛАТИНСКИХЪ ПАМЯТНИКОВЪ

## КАСАЮЩИХСЯ ФОТІЯ ПАТРІАРХА

ИЗДАЛЪ

А. ПАПАДОПУЛО-КЕРАМЕВСЪ

ПЕРВЫЙ ВЫПУСКЪ

С.-ПЕТЕРБУРГЪ

Типографія В. Киршбаума, Дворц. площ., д. М-ва Финансовъ

1899


BIBLIOTHECA APOSTOLICA VATICANA

# MONUMENTA

## GRAECA ET LATINA AD HISTORIAM

# PHOTII PATRIARCHAE

## PERTINENTIA

EDIDIT

A. PAPADOPULOS-KERAMEUS

I

PETROPOLI
Typis V. Kirschbaum
1899

# ПРЕДИСЛОВІЕ.

Конецъ XIX в. въ области византинологіи ознаменовался вызвавшимъ немалое удивленіе среди представителей церковно-исторической науки открытіемъ многихъ документовъ, ближайшимъ образомъ знакомящихъ съ жизнью и дѣятельностью знаменитѣйшаго святого патріарха Фотія, который въ IX вѣкѣ дважды украшалъ собою Константинопольскій патріаршій престолъ. Извѣстно, что на Святой Горѣ найдено преосвященнымъ епископомъ Порфиріемъ Успенскимъ немалое количество огласительныхъ словъ св. Фотія, разъяснившихъ много темныхъ сторонъ въ вопросѣ о дѣятельности его, какъ патріарха [1]). Впослѣдствіи и мы нашли изрядное количество изъ оставшихся послѣ него выдающихся сочиненій, и въ особенности 27 большею частью до сихъ поръ неизвѣстныхъ его писемъ, проливышихъ не мало свѣта на церковную исторію временъ св. Фотія [2]). Извѣстны

[1]) Четыре бесѣды Фотія - - - и разсужденіе о нихъ арх. Порфирія Успенскаго. Спб., 1864. См. еще A. Nauck Lexicon Vindobonense. Petropoli 1867, стр. XXIII—XXX, 201—232. C. Müller Fragmenta hist. Graecorum V, pars 1. Parisiis 1883, стр. XV, 162—173. Рукопись, содержащая рѣчи Фотія, находится въ Иверскомъ монастырѣ подъ № 684. Великій же логоѳетъ константинопольскаго патріархата С. Аристархи печатаетъ въ настоящее время до 83 ему извѣстныхъ рѣчей Фотія въ двухъ томахъ

[2]) См. Православный Палестинскій Сборникъ. Томъ XI, вып. 1. Спб., 1892. Св. патріарха Фотія веизд. писемъ. По Аѳонскимъ рукописямъ издалъ А. П.-К. Спб., 1896. Φωτιακὰ ὑπὸ Α. Π.-Κ. Ἐν Πετρουπόλει 1897.

намъ также и разныя другія его неопубликованныя произведенія, которыя, при первомъ удобномъ случаѣ, мы надѣемся собрать и издать, чтобы пополнить серію всѣхъ его твореній.

Кромѣ вышеупомянутыхъ документовъ въ библіотекахъ и до сихъ поръ хранятся разные неизданные труды авторовъ IX—XIII вв., имѣющіе болѣе или менѣе близкое отношеніе какъ къ эпохѣ Фотія, такъ и къ нему самому; правда, существуютъ подобные греческіе и латинскіе тексты, изъ коихъ нѣкоторые уже изданы, но по ограниченности ихъ числа и вслѣдствіе малаго довѣрія, хотя и не заслуженнаго, они не очень распространены.

Давно уже чувствуется потребность, ради ознакомленія съ исторіей церкви въ IX в., въ составленіи сборника всѣхъ неизданныхъ и рѣдкихъ греческихъ и латинскихъ текстовъ, такъ или иначе касающихся патріаршества Фотія, чтобы такой сборникъ служилъ руководствомъ для желающихъ познакомиться съ исторіей церкви при Фотіи на основаніи автентичныхъ документовъ и текстовъ.

Нѣсколько разъ намъ представлялся поводъ для составленія подобнаго сборника, но за отсутствіемъ надлежащей помощи въ такомъ важномъ предпріятіи мы вынуждены были отказываться отъ этого. Впрочемъ, надѣясь, что настоящая работа, являющаяся попыткой, будетъ встрѣчена съ сочувствіемъ и вызоветъ надлежащую поддержку, мы рѣшились взяться за изданіе подобнаго руководства, первымъ выпускомъ котораго является настоящая брошюра. Въ ней мы помѣстили лишь три текста, написанные въ началѣ X в. двумя учениками Фотія.

Первый текстъ, изображающій жизнь Константинопольскаго патріарха св. Антонія Кавлея, второго преемника Фотія, хотя и не упоминаетъ этого послѣдняго, полезенъ тѣмъ, что освѣщаетъ темный для насъ по своимъ результатамъ VIII Вселенскій Соборъ, созванный въ концѣ IX в. въ Константинополѣ папой Іоанномъ VIII и патріархомъ Фотіемъ (879—880). Какъ видно изъ заглавія, авторомъ житія патріарха Антонія былъ его современникъ риторъ и философъ Никифоръ.

По всѣмъ вѣроятіямъ и самое жизнеописаніе написано

спустя годъ по кончинѣ Антонія, повидимому, 12 февраля 901 г., т. е. черезъ четыре года послѣ смерти Фотія [1].

Это даетъ намъ право считать философа Никифора тѣмъже лицомъ, что и Никифоръ, съ которымъ патріархъ Фотій велъ долгую переписку. Это былъ монахъ, и сохранившіяся письма къ нему Фотія указываютъ, что онъ былъ ученикомъ этого великаго патріарха IX в. [2]). Два изъ этихъ писемъ указываютъ, что, по просьбѣ Никифора, Фотій поправлялъ труды его [3]). Изъ другихъ писемъ Фотія къ Никифору мы узнаемъ, что послѣдній занимался серьезно искусствомъ риторики, а не только философіей [4]) О томъ же свидѣтельствуетъ и заглавіе житія патріарха Антонія. Такимъ образомъ, очевидно, что отожествленіе Никифора, философа и ритора, съ философомъ и риторомъ Никифоромъ, другомъ патріарха Фотія, не подлежитъ никакому сомнѣнію. Этому то самому Никифору, ученику Фотія, называвшаго его τοῦ Θεοῦ ἱερὲ ἄνθρωπε [5]), принадлежитъ описаніе житія Антонія, до сихъ поръ не появлявшееся въ печати, но извѣстное въ латинскомъ переводѣ Сурія [6]). Оригиналъ греческаго текста представляетъ рѣдкую рукопись. До сихъ поръ былъ извѣстенъ одинъ только списокъ въ пергаментномъ кодексѣ, хранящемся въ Вѣнской императорской публичной библіотекѣ [7]).

[1]) Патріархъ Фотій умеръ не въ 891 г., а 6 февраля 897 г. См. Byzantinische Zeitschrift VIII, стр. 649—654. Что житіе св. Антонія описано, по всей вѣроятности, спустя одинъ годъ послѣ смерти патріарха Антонія, можно извлечь изъ слѣдующаго выраженія Никифора (стр. 2,7): ὧν ὄψις μοι (вмѣсто μόνη) καὶ πεῖρα χρόνοις οὐ συχνοῖς διδάσκαλος ἦν.

[2]) Φωτίου - - - ἐπιστολαὶ - - - μετὰ προλεγομένων - - ὑπὸ Ἰω. Ν. Βαλέττα. Ἐν Λονδίνῳ 1864, стр. 435—441 и 550—553.

[3]) Ἐπιστ. 114 изд. Валетта: Τὸ δὲ εἰς τὴν μάρτυρα τῆς ὑμῶν εὐφυΐας φιλοπόνημα κατὰ τὴν σὴν ἀξίωσιν ἐπελθόντες, τῆς μὲν ἀσιανῆς σπορᾶς - - - γνησίαν γονὴν κατειλήφαμεν· σφαλμάτων δὲ οὐδέν, πλὴν εἴ πού τι περὶ σύνταξιν, καὶ τοῦτο σπάνιον, ἐπεσημηνάμεθα.—Ἐπιστ. 244: Ἅπαντα μὲν καλῶς εἶχε καὶ οὐδὲν ταῖς συντάξεσιν ἢ ταῖς ἄλλαις γραμματικαῖς ἀκριβείαις ὁ λόγος ἐχώλευεν· ἃ δὲ τῶν ῥητορικῶν ἐνέδει νόμων καὶ τῆς ἐκεῖθεν περινοίας (οὐδ' ἐν τούτοις εἰς ἀναίσχυντον ἐκφερομένων τῶν γεγραμμένων ἁμάρτημα), καὶ ταῦτα δέ σοι, ὥσπερ ᾔτησας, διορθώσεως τυχόντα προσαναπεπλήρωται· εἴης δὲ κἀν τούτοις, ὥσπερ κἀν τοῖς ἄλλοις, αὐτὸς διὰ σεαυτοῦ φέρων τὸ εὐδόκιμον.

[4]) Φωτίου ἐπιστολαί, стр. 551, № 246.

[5]) Φωτίου ἐπιστολαί, стр. 551, № 245.

[6]) См. Acta Sanctorum. Febr. II, стр. 622.

[7]) P. Lambecii Commentariorum de aug. bibliotheca Vindobonensi

Второй списокъ найденъ нѣсколько лѣтъ тому назадъ въ 983-мъ кодексѣ Аѳинской національной библіотеки; онъ списанъ въ 1266—67 гг. на бомбицинѣ [1]). За невозможностью посѣтить Вѣну или найти тамъ переписчика, вѣнскій списокъ остался недоступнымъ для насъ. Поэтому въ нашемъ изданіи житія Антонія мы довольствовались однимъ лишь аѳинскимъ спискомъ, копія съ котораго доставлена намъ сыномъ извѣстнаго, нынѣ умершаго, палеографа Іоанна Саккеліона—Алкивіадомъ Саккеліономъ. На основаніи этой копіи и началось три года тому назадъ наше изданіе, прекратившееся по независящимъ отъ насъ причинамъ; впрочемъ, мы успѣли напечатать два листа, которые, по напечатаніи, остались у насъ забытыми. Въ прошломъ году мы вспомнили, однако, о нихъ, благодаря одному письму Эдуарда Курца, живущаго въ г. Ригѣ, который просилъ у насъ нѣкоторыя свѣдѣнія о патріархѣ Антоніи.

Тогда мы отправили ему изданные нами два листа; въ отвѣтъ на это Курцъ сообщилъ намъ любезно, что Norden въ этотъ промежутокъ времени издалъ начала житія Антонія по Вѣнскому списку [2]). Сравнивъ наше изданіе съ изданіемъ Norden'a, г. Курцъ нашелъ въ нешемъ изданіи нѣкоторые недостатки, которые и исправилъ. Мы нашли эти поправки вѣрными и, съ благодарностью, помѣстили ихъ въ нашихъ Corrigenda съ *. Что касается до различія Вѣнскаго кодекса, онѣ, по изданной Norden'омъ части, заключаются въ слѣдующемъ. Наше изданіе стр. 1, 9 ἐνεγκεῖν] рук. Вѣн. ἐνεικεῖν || 10 διὰ τῶν] рук. Вѣн. δι' αὐτῶν || 14 ἀλλὰ νικᾶν] рук. Вѣн. ἀλλ' ἀνηβᾶν. Это писаніе надо принять въ текстѣ.—Стр. 2, 2 διὰ βίου] рук. Вѣн. διὰ τοῦ βίου || 7 ὄψις μόνη] рук. Вѣн. ὄψις μοι. И это написаніе, указанное Lambecius'омъ, надо принять въ текстѣ, какъ новое доказательство, что авторъ жилъ во времена Антонія || 2, 23 μετὰ τῶν ὁσίων] рук. Вѣн. μετὰ τὴν ὁσίαν; такъ надо читать въ текстѣ, равно какъ и въ настоящемъ

liber VIII. Vindob. 1679, стр. 82—83. Fabricii-Harles, Bibliotheca graeca, т. VII, стр. 610.

[1]) Ἰω. Σακκελίωνος καὶ Ἀλκ. Σακκελίωνος Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος. Ἐν Ἀθήναις 1892, стр. 176—177.

[2]) Ed. Norden, Die antike Kunstprosa von VI Jahrhundert v. Chr. bis in die Zeit der Renaissance. Leipzig 1898, стр. 371—373. См. еще стр. 952—953.

нашемъ изданіи стр. 19, 8 || 2, 27 παρέξει] рук. Вѣн. παρέξοι || 7, 29 οἷα καὶ] рук. Вѣн. οἷα κοσὶ. Изъ этихъ немногихъ примѣровъ видно, насколько желательно было бы при изданіи житія Антонія имѣть въ виду Вѣнскій списокъ. Будемъ надѣяться, что кто-нибудь изъ нашихъ читателей найдетъ свободное время собрать всѣ разночтенія находящагося тамъ списка и сообщитъ намъ, чтобы помѣстить ихъ во второмъ выпускѣ настоящаго сборника.

Второй текстъ заключаетъ въ себѣ надгробную рѣчь, посвященную памяти святого Евѳимія, патріарха Константинопольскаго, умершаго 5 авг. 917 г. Эту рѣчь, извѣстную намъ прежде только по латинскому переводу [1]), составилъ знаменитый Ареѳа Кесарійскій, бывшій ученикомъ патріарха Фотія. Неизданный же греческій текстъ находился въ одномъ изъ кодексовъ Московской синодальной библіотеки [2]), и переписанъ, по нашему изслѣдованію, въ XVI в. мудрымъ епископомъ Киѳирскимъ Максимомъ Маргуніемъ. Письмо его въ этомъ кодексѣ, равно какъ и въ другихъ, весьма тонкое и во многихъ мѣстахъ неразборчивое. Во время печатанія мы пользовались дружеской услугой іеромонаха Каллиста настоятеля Антіохійскаго подворья въ Москвѣ, взявшаго на себя трудъ сличить нашъ готовый къ печати трудъ съ указаннымъ выше кодексомъ. Предлагаемая надгробная рѣчь, посвященная памяти святого Евѳимія, имѣетъ большое значеніе по отношенію къ исторіи времени св. Фотія, потому что уже въ 917 г. патріархъ Фотій считался церковью въ ликѣ ея святыхъ отцевъ.

Третій текстъ представляетъ собой второй до сихъ поръ неизданный трудъ того же самаго Ареѳы Кесарійскаго, находящійся въ вышеупомянутомъ кодексѣ Московской синодальной библіотеки. Это—отвѣтъ на письмо армянъ къ Константинопольской церкви, написанный въ то время, когда патріархъ Николай Мистикосъ попробовалъ соединить армянскую церковь съ православной каѳолической (920), желая

[1]) Migne Patrol. graec. т. 106, стр. 797.

[2]) Арх. Владиміръ, Систематическое описаніе рукописей Московской Синодальной Библіотеки. Часть 1-я, рукописи греческія. Москва 1894, стр. 672, № 441 ($\frac{315}{\text{сссп}}$).

продолжать соединеніе, достигнутое въ свое время Фотіемъ, но по удаленіи его отъ престола порванное армянами изъ-за политическихъ причинъ [1]). Ареѳа въ этомъ письмѣ своемъ съ большимъ почтеніемъ упоминаетъ объ отношеніяхъ Фотія къ армянамъ.

Ноябрь, 1899.

А. П.-К.

[1] См. Պատմութիւն Յովհաննու Կաթողիկոսի ամենայն Հայոց. Երուսաղէմ 1843, стр. 192—207. Histoire d'Arménie par le patriarche Jean VI dit Jean Catholicos, traduite de l'arménien en français par J. Saint-Martin. Paris 1841, стр. 265—284. 419—421. Միքայէլ Չամչեանց, Պատմութիւն Հայոց. Վենետիկ 1784, т. II, стр. 776—780.

# CORRIGENDA.

| | | | |
|---|---|---|---|
| Pag. | 1, 14 | ἀλλὰ νικᾶν | lege ἀλλ' ἀνηβᾶν |
| » | 2, 23 | τῶν ὁσίων cod. | » τὴν ὁσίαν |
| » | 3, 12 | ἀντιπέμπον cod. | » * ἀντιπέμπων |
| » | 4, 3 | τῆς - - - σῶμα τοῖς cod. | » * τοῖς - - - σώματος |
| » | 7, 25 | ἀναβαίνει | » ἀναβαίνοι cum cod. |
| » | 7, 28 | νηφούσαις καὶ φυλακτικαῖς | » νήφουσι καὶ φυλακτικοῖς c. cod. |
| » | 7, 29 | οἷα καὶ cod. | » οἷα κυσὶ (Vindob.) |
| » | 7, 29 | ταχέσι cod. | » * ταχείαις |
| » | 9, 20 | τελειότητι cod. | » * τῇ λειότητι |
| » | 9, 30 | δυνάμεως - - ἑστᾶναι cod. | » δυνάμεις - - ἑστάναι |
| » | 10, 9 | πληγὰς cod. | » * πηγὰς |
| » | 11, 11 | ἀνδραγαθίσεσθαι | » ἀνδραγαθίζεσθαι |
| » | 14, 1 | καὶ τὴν cod. | » * τῶν τὴν |
| » | 14, 9 | κορεσάμενος | » κερασάμενος |
| » | 15, 2 | κατὰ cod. | » * καὶ |
| » | 18, 7 | ἀνήλ- | » ἀνή- |
| » | 18, 14 | εἰδός ἐστι | » εἶδος ἔστι cum cod. |
| » | 24, 28 | ἀτιμώτερον cod. | » ἀτιμότερον |
| » | 29, 29 | προκαθ- cod. | » * προσκαθ- |
| » | 30, 13 | ἐκνικήσαντα cod. | » * ἐκνικησάντων |
| » | 31, 21 | συντελεσθῆναι cod. | » * συντελεσθέντα |
| » | 32, 2 | ἐπιγείου | » * ὑπεργείου ? |
| » | 32, 27 | ἐξαμαρτῶν | » ἐξαμαρτόν |
| » | 32, 28 | ἄπο ὠθεῖτο | » ἀπεωθεῖτο |

# I

## ΝΙΚΗΦΟΡΟΥ

τοῦ μακαριωτάτου φιλοσόφου καὶ ῥήτορος

ΕΠΙΤΑΦΙΟΣ, ΗΤΟΙ ΒΙΟΣ ΕΓΚΩΜΙΩ ΣΥΜΠΕΠΛΕΓΜΕΝΟΣ,

εἰς τὸν μέγαν ἐν ἀρχιερεῦσιν θεοῦ καὶ

θαυμαστὸν ἐν πατριάρχαις

ΑΝΤΩΝΙΟΝ.

---

Πάτερ, εὐλόγησον.

1. Οὐκ ἦν ἄρα τῶν προλαβόντων καλῶν εἰς πίστιν μὴ πάλιν τὸν χρόνον, κἂν ἐδόκει γεγηρακέναι, παραπλησίους γονὰς ἐνεγκεῖν καὶ διὰ τῶν ἐσχάτων ὠδίνων ἔργοις αὐτοῖς καὶ πράγμασι τῶν φθασάντων καρπῶν πιστώσασθαι τὸ παράδοξον· ἀπ' ἀρχῆς γὰρ τὴν ἀνθρωπίνην ὁ πλάστης παλαμησάμενος φύσιν καὶ τῶν ἀγαθῶν σπερμάτων ἐντεθεικὼς ἀφορμὰς οὐκ ἀφῆκε ταύτην συγγηράσκειν τῷ χρόνῳ, ἀλλ' [illegible]ᾶν ὁσημέραι καὶ τόκους ἀδελφοὺς τῶν προλαβόντων φέρειν, τῆς ἄνωθεν συγγενείας τὸ εὐγενὲς ἐν ἑαυτοῖς ἐπιφερομένους ἀνόθευτον. οὐ γὰρ ὑστέρῳ κατὰ χρόνον καὶ πρώτῳ μετρεῖσθαι πέφυκεν ἀρετή, ἀλλ' ἀδεκάστῳ γνώμῃ τῶν κατορθούντων, κατὰ τὸν νῦν εἰς ὑπόθεσιν εὐφημίας τῷ λόγῳ προκείμενον, τῇ καθ' ἑκάστην ἐπιδόσει ὅλην ἀναβάντα τὴν

---

E codice Athen. 983, ann. 1267, f. 145b—168b.

3 cod. ἤτοι. 4 cod. ἐναρχιερεῦσιν. 13 cod. ἀφορμᾶς. 16 cod. κατα-χρόνον.

τῶν ἀρετῶν κλίμακα καὶ ἀφιγμένον εἰς τὸ ἀκρότατον. ἀλλ' ἔδει τούτῳ, διὰ βίου τὴν ἀρετὴν μελετήσαντι, τοὺς διὰ βίου περὶ λόγους ἐσπουδακότας διαπλέκειν τὸν ἔπαινον, οἵπερ εἰσὶ καὶ γλῶσσαν ἀγαθοὶ καὶ δυνατοὶ θαυμάζειν ἀνδρὸς κατορθώματα, ἐμὲ δὲ μακρᾷ σιγῇ διδόναι τὸ στόμα καὶ τὴν γλῶτταν δεσμῷ καὶ ῥητορευόντων ἄλλων ἐν ἀκροαταῖς καταλέγεσθαι, καὶ τῶν μὲν ἀνελίττειν τὴν μνήμην, ὧν ὄψις μόνη καὶ πεῖρα χρόνοις οὐ συχνοῖς διδάσκαλος ἦν, καὶ τῇ ἀληθείᾳ προσμαρτυρεῖν τὸ ἀληθές τε καὶ βέβαιον, τῶν ἀγνοουμένων δὲ τῇ διηγήσει διὰ τοῦ λόγου καρποῦσθαι τὴν εἴδησιν, ἀλλὰ μὴ ἀπαιδεύτῳ γλώσσῃ καὶ συγκεχυμένῳ τῷ τῆς ἀθυμίας νέφει λογισμῷ πρὸς ὄγκον τοσούτου πράγματος ἀποδύεσθαι, τὸν τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦσιν ἐπηρτημένον κίνδυνον ὑφορώμενον· φύσει γὰρ οἱ λόγοι τῶν πραγμάτων ἐλαττοῦσθαι πεφύκασιν. ἐνταῦθα δὲ νῦν, ὅπου καὶ χρόνος μάλιστα μακρὸς διεμετρήσατο τὴν ἀρετὴν καὶ πολυανθῆ λειμῶνα μιμεῖται κατορθώματα, πρὸς τὴν πάντων ἀμηχανοῦντες διάληψιν εἰκότως συστέλλονται· οὐδὲ γὰρ τὴν ἑαυτῶν φύσιν οὔμενουν οὐδὲ τὸ τῶν πραγμάτων ἀγνοοῦσι μέγεθος. ὅμως λήψεσθαί τι μᾶλλον ἢ δώσειν ἐλπίσαντες τῷ τῶν ἀρετῶν ἡγοῦνται μεγέθει τὴν οἰκείαν ἀποκρύψειν ἀσθένειαν· μηδένα γὰρ κρίνειν τοὺς λόγους τῷ τῶν πραγμάτων ἐκπληττόμενον θαύματι· διὸ καὶ λαθεῖν ἐλπίζουσιν ὁμοῦ καὶ κηρύττεσθαι, τῇ τούτων συμπλοκῇ θαυμαζόμενοι. ἐπεὶ δὲ καὶ τῆς αὐτοκράτορος ἐν πᾶσι γνώμης ἡ ψῆφος κρατεῖ καὶ μετὰ τὴν ὁσίαν ὡς ἔθος δικαιοῦσα νέμειν τὰ ὅσια τῷ πατρί, τῇ ταύτης περὶ λόγους χάριτι τὸ πᾶν ἐπιτρέψαντες, κἂν ὑστερίζειν ἀνάγκη, τὸ λεῖπον πάντως ἐκείνη προσθήσει, ὁλοσώματον δὲ μᾶλλον τῷ λόγῳ παρέξει τὴν ἐπανόρθωσιν. ὅθεν ἑαυτοὺς ἐπὶ τὴν διήγησιν ἐπαφίεμεν, καθάπερ τινὰ κρηπῖδα τὴν πατρίδα προτάξαντες.

2. Ἀλλὰ πατρίδος καὶ προγόνων οὐκ ἐβουλόμην εἰς μνήμην ἐλθεῖν, ὅτι μηδέν τι τῶν τῆς σαρκὸς τῷ οὐρανίῳ ἐκείνῳ μικροῦ καὶ ἀσάρκῳ καὶ μόνην εἰδότι πατρίδα τὴν ἄνω πόλιν, εἰς ἣν οἱ

2 cod. διαβίου. 3 cod. οἵπέρ εἰσι. 12 cod. ὑπερδύναμιν. 24 cod. περιλόγους. 26 cod. πρὸς θήσει. 28 cod. καθάπέρ τινα κριπῖδα. 30 cod. μηδέν τι.

τῆς ἀρετῆς ἐργάται πολιτογραφοῦνται, προσοικειούμενον οἴδαμεν. ἀλλ' ἐπεὶ καὶ τὸν δι' ἡμᾶς τῇ τοῦ ἡμετέρου φυράματος προσλήψει γενόμενον καθ' ἡμᾶς δημιουργὸν ὁρῶ τοῦ παντὸς καὶ δεσπότην πατρίδα τε καὶ προγόνους προσηκάμενον καὶ τῆς εὐτελοῦς Βηθλεὲμ τὸ μεγαλεῖον πάσῃ γλώσσῃ λαλούμενον, οὐδ' ἐπὶ τοῦ θείου ἀρχιερέως ὅσιον κέκρικα ταῦτα παραλιπεῖν, συνεξωραϊσθῆναι δὲ μᾶλλον διὰ τῆς μνήμης καὶ τὸ τῶν τροφείων χρέος ἐντεῦθεν ἕξειν ἀποπληρούμενον. ἀλλ' ἐπὶ μὲν τῶν ἄλλων ἴσως ἡ πατρὶς καὶ τὸ γένος ἐγκωμίου χρείαν τῷ ἐξ αὐτῶν τῇ τέχνῃ παρέχεται προβαλλόμενα, ἐπὶ δὲ τοῦ παρόντος ὁ τόκος μᾶλλον τοῖς ἐξ ὧν προῆλθεν ἀθάνατον τὸ κλέος χαρίζεται, κάτωθεν ἀντιπέμπων ἄνω τὴν αἴγλην ταῖς τῶν ἡλιακῶν ὁμοίως ἀκτίνων ἀντανακλάσεσιν. πατρίδα τοίνυν μίαν τὴν οὖσαν οὐκ ἔστιν εὑρεῖν· Ἀσία γὰρ καὶ Εὐρώπη τὸ κλέος μερίζεται, ἣ μὲν διὰ τῆς Θρᾴκης, ἣ δὲ διὰ τῆς Φρυγίας τὴν γονὴν οἰκειούμεναι. ἀμφισβητησίμου δὲ ταύταις ὄντος τοῦ πράγματος, ἄλλη τρίτη πατρὶς ἡ Βασιλὶς τῶν πόλεων ἀναφαίνεται· ἣ δὴ καὶ ἔτρεφεν ἀγκαλισαμένη, ἀφ' οὗ μικροῦ τῶν παιδικῶν ἀποτετυλίχθαι συνέβη σπαργάνων αὐτῷ, ὡς εἰς ὕστερον αὐτῇ γενησομένῳ δόξαν καὶ ἐγκαλλώπισμα. καὶ ἣ μὲν οἷα κεφαλὴ προθύμως ταύτῃ παραχωρεῖ, τῆς δόξης παραπολαύειν ἐλπίζουσα· ἡ δ' Ἀσία δυσχεραίνει μέν, οὐ μὴν δὲ ἐπὶ πολὺ τὸ φιλόνεικον παρατείνεται, ὑποκύπτουσα τῇ Βασιλίδι καὶ τῇ τῶν προγόνων ἀρκουμένῃ δόξῃ, παρ' ὧν αἱ πρῶται τούτῳ πηγαὶ τῆς γενέσεως· οὓς ἐκ Φρυγίας τὸ γένος ἕλκοντας, δι' ἃς ἐν τῷ στρατιωτικῷ καταλόγῳ βασιλικὰς ἐπλήρουν ὑπηρεσίας, ἡ Βασιλὶς εἶχεν οἰκήτορας, ἀνδρείους μὲν ψυχήν, ἀνδρείους δὲ σῶμα καὶ προδιαζωγραφοῦντας ἐν ἑαυτοῖς τὸ τοῦ ἐξ αὐτῶν γενησομένου κατὰ παθῶν ἀνδρεῖον καὶ εὔτονον. ἀφ' ὧν ἐκφὺς ὁ τούτου πατὴρ ὑπ' αὐτῶν τῶν τεκόντων ἐκ πρώτης ἡλικίας, καθάπερ ὁ Σαμουήλ, καὶ σχήματι θεῷ κληροῦται καὶ πράγματι, καὶ τοῦ γένους εἰς δια-

1 cod. πρὸσοικειούμενον. 3 cod. ὀρῶ. 4 cod. τὲ; item deinceps. 6 cod. παραλειπεῖν. 8 cod. ἐπιμὲν - - ἴσως. 16 ἄλλη] cod. ἀλλ' ἡ. 17 ἣ δὴ] cod. ἤδη. 20 cod. παρὰ χωρεῖ 23 παρ' ὧν] cod. παρῶν. 28 cod. καταπαθῶν. 29 Reg. I, 24.

*

δοχὴν νόμῳ γάμου συνάπτεται γυναικί, κοσμίῳ μὲν ψυχήν, κοσμίῳ δὲ πᾶσι τρόποις καὶ τῇ τοῦ σώματος ὥρᾳ οὐκ ἐνυβριζούσῃ τὸ τῆς ψυχῆς εὐγενές. οὐδ' ὁμοῦ τῆς ψυχῆς φάναι καὶ σῶμα τοῖς ἀγαθοῖς τῷ κατ' ἄμφω τὸ ἐπίσημον ἔχοντι ἀνδρὶ κατ' οὐδὲν οὔμενουν ἐφαίνετο ἀποδέουσα, ἀλλ' ἦν ξυνωρὶς ἐπίσημος, ξυνωρὶς τιμία, ξυνωρὶς ζηλωτή, συζυγία πρὸς θαῦμα τοὺς τῶν πολλῶν ὀφθαλμοὺς ἐπιστρέφουσα, ὀλίγα μὲν τῇ σαρκί, τὸ πλεῖστον δὲ ζῶσα θεῷ καὶ τοῖς πρὸς θεὸν φέρουσιν ὡς ἀληθῶς ἔργοις καὶ κατορθώμασιν, ὑπὲρ ὧν καὶ δι' ὧν καθάπερ τι ἔπαθλον ἀρετῆς βλαστῆσαι τὸν ἱερὸν καρπὸν ἠξιώθησαν.

3. Ὃς ἔν τινι μητρῴᾳ κτήσει, οὐ πολὺ ἀφισταμένῃ τοῦ ἄστεος, ἐν ᾗ κατῴκουν, τοὺς ἐν ἄστει θορύβους καὶ τῆς εἰκονομάχου λύττης τηνικαῦτα κρατούσης τὴν μανίαν ἐκλιπόντες, τὰς ὠδῖνας λυσάμενος ἐτρέφετο μᾶλλον εὐσεβείᾳ ἢ γάλακτι. ἄρτι δὲ τοῦ ψελλίζειν ἀρξάμενος, γλυκὺ τοῖς γεννησαμένοις θαῦμα παρείχετο· οὐ γὰρ ὑπολαλεῖν, ἀλλ' ὅ τι σχεδὸν παρεῖχε τῇ ψελλιζούσῃ γλώσσῃ, πλὴν ὅσα τῆς μυστικῆς ἡμῶν λατρείας τῇ εὐλήπτῳ τέως καὶ παιδὸς ἁπαλῇ φύσει δυνατὸν ἐντυποῦσθαι καὶ τῶν χειλέων προέρχεσθαι, καὶ τοῦτο, τῇ κατὰ μικρὸν αὐξήσει τοῦ σώματος ἐπίδοσιν λαμβάνον, συναυξανόμενον εἶχε τὸ θαῦμα καὶ πᾶς ὁρῶν προφήτης τοῦ μέλλοντος ἐχρημάτιζεν. εἰς δὲ πέμπτον ἀναβὰς χρόνον καὶ τοὺς τῶν γραμμάτων τύπους παρὰ τοῦ ἱεροῦ πνεύματος διδασκόμενος (οὐδὲ γὰρ εἰς παιδοτρίβου φοιτᾶν τοὺς τῶν παίδων ἐπιτωθασμοὺς καὶ τὴν ἄλλην μειρακιώδη τερθρείαν ἐκκλίνων ἠνέσχετο), τὰς ἱερολογίας ἁπάσας, ὅσα μάλιστα μὴ μυστηριαζόμενα τῇ τοῦ ἱεροτελεστοῦ φωνῇ εἰς τὴν ἀκοὴν ἐκπίπτει τῶν τελουμένων, εὐφυῶς ἀποστοματίζων, λοιπὸν καὶ τῶν πραγμάτων τὴν μίμησιν ὑπεκρίνετο, ἄρτον προτιθεὶς καὶ χειρίζων θυμιατήριον, ὥσπερ οὐκ ἀνεχομένης τῆς ἱερᾶς ψυχῆς μὴ καὶ ἐν τῷ ἀτελεῖ τῆς ἡλικίας ἐνεργεῖν τὰ θεῖα καὶ πρὸ καιροῦ τῆς ἀκριβείας τὰ τῆς ἀκριβείας προοιμιάζεσθαι. καὶ τοῦτ' ἦν ἀντὶ πάσης παιδιᾶς τῷ ἱερῷ παιδὶ

4 cod. κατάμφω. 7 cod. ὀλίγα. 9 cod. καθάπέρ τι. 11 cod. μητρῶα. 12 cod. ἐνῆ. 19 cod. καταμικρόν. 23 cod. ἐπιτοθασμούς. 24 cod. τερθρίαν. 25 cod. ὅσαι || cod. μυστηριαζόμεναι. 30 cod. προκαιροῦ. 31 cod. ἀντιπάσης.

ἔργον καὶ σπούδασμα, ὀλίγα μὲν τῇ μητρὶ συμπαρομαρτοῦντι, τὰ πολλὰ δὲ τούτοις κατ' ἰδίαν ἐνασχολουμένῳ. ἐπεὶ δὲ πρὸς τὴν μακαρίαν καὶ ἀγήρω μετέβη λῆξιν ἐκείνη, συνῆν τῷ πατρὶ τῶν ἱερῶν τέως ψαλμῶν τὴν μάθησιν ἐξασκούμενος. εὐκληρίᾳ δὲ φύσεως μείζω μὲν τὴν σύνεσιν τῆς ἡλικίας, ὡριμωτέραν δὲ τοῦ τῆς ἡλικίας χρόνου τὴν σωματικὴν ἐδίδου διάπλασιν ὑποφαίνεσθαι, ποριμωτέραν δὲ τοῦ καλοῦ τὴν γνώμην, ἢ ὅσον ἑκατέρῳ τούτων εἰκὸς τὸν χρόνον μετρεῖν. ἐντεῦθεν τὸν δωδέκατον χρόνον διαβὰς καὶ λογικώτερον ἐπιβάλλων τοῖς πράγμασιν (ὢ γνώμης εὐσταθοῦς, ὢ σπουδαίας προθέσεως) κρίσιν ἐποιεῖτο βίων καὶ αἵρεσιν, καὶ τοὺς ἄλλους παρωθούμενος, πρὸς τὸν μονήρη βλέπων, τὴν ἐπιθυμίαν ἀνέφλεγεν· αἱ γὰρ ἀρχαὶ τῶν πραγμάτων ἐκ τοῦ τέλους κρινόμεναι τὴν αἵρεσιν ἀσφαλῆ διδόασι τοῦ βελτίονος· οὐ γὰρ ἀνάλογον τῆς ἡλικίας τὴν κρίσιν εἶχε προβαίνουσαν, ἀλλ' ἐν νεαρῷ τῷ σώματι πολιὰν ὑπέφαινε σύνεσιν. δι' ὧν ἐνήργει, τὴν πρὸς τὸ καλὸν παριστάνων οἰκείωσιν, καὶ οἷς ἐπεκτείνετο, τὸ τῆς ἀδεκάστου γνώμης εὐσταθὲς ὑπεσήμαινεν. καταφρονήσας μὲν δόξης, διαπτύσας δὲ πᾶν, ὃ μὴ πρὸς θεὸν φέρει, τῆς πρὸς αὐτὸν εἴχετο φερούσης, τραχείας μέν, πλὴν ἐπικερδοῦς καὶ μόνης εἰδυίας διαβιβάζειν τοὺς ἀγαθοὺς ἐμπόρους πρὸς ἐκεῖνον τὸν μαργαρίτην τὸν ὄντως πολύτιμον· οἶδεν γὰρ ἔρωτι θείῳ προληφθεῖσα ψυχὴ πρὸς μόνον ὁλικῶς ἐπείγεσθαι τὸ ποθούμενον καὶ πάντα τίθεσθαι παρ' οὐδὲν τὰ μηδὲν συντείνειν πεφυκότα πρὸς τὸ ζητούμενον· τὸ γὰρ ὁλοψύχως αἱρεθὲν εἰς ἐπίκτησιν βέβαιον, τὸ δὲ βεβαίως προσκτηθὲν πρόχειρον εἰς συντήρησιν. ἅπαξ γὰρ τὴν ὁρμὴν πρὸς τὸ καλὸν ποιησάμενος, καθάπερ τινὸς ἐξ ἀφετηρίας τῆς ἀρετῆς τῶν φυσάντων ἄληκτον εἶχε τὴν φοράν, θεὸν ζητῶν καὶ πρὸς αὐτὸν ἐπειγόμενος.

4. Ἐντεῦθεν ἀνδρὶ προσάγεται ἱερῷ ἱεροῦ προεστῶτι φροντιστηρίου καὶ διασήμῳ ἐπ' ἀρετῇ, ᾧ τὸ κλέος πρᾶξις ἐποίει μέγα καὶ θεωρία, ψυχῆς καὶ σώματος τὰ κινήματα μερισάμεναι. ὃς

1 cod. ὀλίγα. 6 cod. ὑπὸ φαίνεσθαι. 9 cod ὦ γν. εὐσταθούς ὦ. 10 cod. αἷρεσιν hic et infra. 16 ἐπεκτείνετο] sic codex. 19 cod. ἐπικερδῶς. 20 μαργ. πολύτιμον] Matth. XIII, 44. 22 cod. μὴδὲν. 23 cod. αἰρεθὲν. 24 cod. πρὸσκτηθὲν. 25 cod. ὀρμὴν || cod. καθάπέρ τινος ἐξαφετηρίας. 29 cod. διάσήμω.

εὐθὺς οἰκειωσάμενος, ὡς οἷα τοῦ νέου τὴν ἀρετὴν προορώμενος, εἰς τὸ αὐτοῦ καὶ σχῆμα καὶ ἔνδυμα μετεστήσατο, καθάπερ τινὰ πίνακα τὰς αὐτοῦ προθεὶς ἀρετάς, καὶ τυπῶν τῷ καθ' ἑαυτὸν ὑποδείγματι διδάσκαλος ἔργῳ μᾶλλον ἢ λόγῳ τῶν ἀγαθῶν μαθημάτων ἐδείκνυτο· ὑφ' οὗ τὴν ἐγκύκλιον ἐξασκούμενος παίδευσιν τὸ γλυκὺ τῶν θείων Γραφῶν ἔσπα νᾶμα, τῆς ἔξω μέθης τὴν κραιπάλην ὑπ' ἐκείνῳ καθηγητῇ παρωθούμενος. καὶ λοιπὸν ἀνεπιστρόφως τὸ τῆς ἀσκήσεως χειρίζεται ἄροτρον, τοὺς τῆς ἀρετῆς αὔλακας ἐκβαθύνων καὶ πρὸς καρπογονίαν καλῶς παρασκευαζόμενος. καὶ αἱ μὲν νύκτες εἶχον τὴν γλῶσσαν εἰς εὐχὰς καὶ ὕμνους καὶ τὴν τῶν θείων μελέτην σχολάζουσαν, τὰς δὲ χεῖρας αἱ ἡμέραι τοῖς συνασκουμένοις εὐτόνως ὑπηρετουμένας· ᾔδει γὰρ σαφῶς, ὡς οἱ μὲν ἄλλοι πόνοι μέγα μὲν—πῶς γὰρ οὔ;—πλὴν οὐ τοσοῦτον τὸ κέρδος παρέχονται, οἱ δὲ εἰς τὴν τοῦ πλησίον θεραπείαν καταβαλλόμενοι, πολύχουν φέροντες τὸν καρπόν, τὸ παρὰ θεοῦ δοθὲν ἑκάστῳ πολυπλασιάζουσι τάλαντον. οὗ τὸ κεφάλαιον ἀγάπη, τῶν ἀγαθῶν ἡ πηγή, ἀφ' ἧς ὁ ῥυπτικὸς τῶν μολυσμῶν ὁλκὸς προχεόμενος λαμπροὺς λαμπρῶς παρίστησι τῷ θεῷ, τὸ κατ' εἰκόνα διὰ τῆς συμπαθείας τῇ θείᾳ μιμήσει ἀπαραχάρακτον διαζωγραφῶν· διελόμενος γὰρ ἄριστα παρ' ἑαυτῷ καὶ φιλοσοφώτατα ταύτην διὰ βίου κοινωνὸν ἐποιήσατο, τὴν ἀγάπην, δι' ἧς τῶν αἰσθητῶν ἀναπτᾶσα ψυχὴ παλινδρομεῖ πρὸς τὸ πρῶτον ἀξίωμα. ταύτην κρηπῖδα τέθεικεν ἀσφαλῆ, ἐπὶ ταύτην τοῦ τῆς ἀρετῆς οἴκου ἀσφαλῶς κατέπηξε τὸ θεμέλιον. διὰ ταύτης οὔτε δόξης ἴχνος κενῆς παρεδέξατο· τῷ γὰρ φιλαύτῳ φιλεῖ τὸ πάθος τοῦτο παρέπεσθαι. ἐπεὶ τὸ φίλαυτον πάντως φιλόδοξον, οὐ φίλαυτον δὲ τὸ φιλάδελφον, ἀνώτερον ἄρα τοῦ πάθους, δι' ἀγάπης δουλούμενον καὶ δουλοῦν τὰ τῶν ἐντὸς θηρίων ἀτίθασα, τὰς τῶν παθῶν λέγω μανιώδεις ὁρμάς. οὔτε τινὶ δέδωκε πάροδον τῷ θυμῷ ἀνακρουομένῳ ταύτῃ καθάπερ τινὶ χαλινῷ καὶ καλῶς ἡνιοχουμένῳ ἐλαύνοντι τὴν ἐπ'

1 προ ὁρώμενος. 2 cod. καθάπέρ τινα. 6 cod. νάμα. 7 cod. ὑπεκείνω κ. παροθούμενος. 16 cod. πολῦ πλασϊάζουσϊ. 17 cod. ἀφῆς || cod. ὀλκὸς. 18 cod. κατεικόνα. 21 cod. διαβίου. 22 cod. ψυχῆ || cod. κρηπίδα. 23 cod. ἀσφαλή. 26 cod. φιλαυτὸν. 27 cod. διαγάπης || cod. δουλοῦντα. 28 cod. ἀτίθασσα. 29 cod. οὔτέ τινι. 30 τινὶ ] cod. τι || cod. ἡνιοχουμένω.

ἀρετήν· οὐδέ τι ὅλως ἐχαρίσατο τῇ ἐπιθυμίᾳ, ἐκ τῆς τοῦ πέλας καὶ τοῦ ποιήματος ἀγάπης ἐπὶ τὸν ποιητὴν μεταβιβάζουσα τὸ ἔσχατον τῶν ὀρεκτῶν, τὸ πρῶτον τῶν ἐφετῶν. διὰ ταύτης ἀνόθευτον ἐτήρει τὸ ἐλευθέριον, ἐκ πρώτης αὐτῆς ἡλικίας διακρουσάμενος τὴν ταύτης ἐναντίαν διάθεσιν, καὶ σύνοικον ὑπ' αὐτῇ προξένῳ κτησάμενος τὴν συμπάθειαν ὅλως ἐγένετο τοῦ θεοῦ.

5. Οὕτω τοίνυν κατὰ τὴν πρώτην ἡλικίαν ἐνευθηνῶν ἀνὰ στόμα πάντων ἦν καὶ πάντα πρὸς αὐτὸν ἐπέστρεφεν ὀφθαλμόν. ἄρτι δὲ τῶν ἰούλων περὶ τὰς παρειὰς ἀνθούντων καὶ στεφανούντων τὸ πλῆρες θείας χάριτος πρόσωπον, ὁ τῆς πρακτικῆς συνεπήνθει φιλοσοφίας λειμὼν εὐθαλῶς ἐν αὐτῷ, καὶ "ἀναβάσεις ἐν τῇ καρδίᾳ" διατιθέμενος τελειοτέρᾳ βουλῇ τελειοτέρων ἔργων ἐφήπτετο. ἐβουλεύετο δὲ οὐ Γοργιάδι μούσῃ, οὐ τῇ Δημοσθένους δεινότητι χρώμενος, ἀλλὰ θείᾳ τινὶ συνέσει καὶ κρεῖττον ἢ κατὰ ἄνθρωπον, καὶ εὕρισκεν πανταχοῦ τὸ μέγα κτῆμα, τὸ θεῖον χρῆμα, τὴν θεοποιὸν ἀγάπην, μᾶλλον δὲ ἣν εἶχεν προβαλλόμενος ἐχώρει κατὰ σκοπόν, οὐδὲν τῆς πραγματικῆς Ἑρμογένους τέχνης ἐπιδεόμενος. διὰ ταύτης τὸ ἐπιεικὲς αὐτῷ προσῆν τοῦ ἤθους, τὸ ἀπαθὲς τοῦ τρόπου, τὸ πρᾶον, τὸ ἁπλοῦν, τὸ μειλίχιον, τὸ τοῦ ὄφεως φρόνιμον, κεκραμένον τῷ τῆς περιστερᾶς ἀκεραίῳ. ἐντεῦθεν ᾔδει καὶ λόγου μέτρα καὶ σιωπῆς, καὶ χειρὸς κίνησιν καὶ βῆμα ποδός, καὶ γεύσεως κημόν, καὶ ὄψεως ὅρον, καὶ ὀσφρήσεως στάθμην, καὶ ἀσφάλειαν ἀκοῆς, ὡς ἂν ἐν τῇ ἀκηράτῳ καὶ κατὰ φύσιν μένοι περιωπῇ ἡ ψυχή, ἀλλὰ μὴ θάνατος ὁ προαιρετικὸς ἀναβαίνει διὰ τῶν θυρίδων ἐπ' αὐτὴν ἀσυμφανῶς, κατὰ τὴν παροιμίαν. καὶ λοιπὸν ἦν μία σπουδή, τὸ δουλῶσαι τὴν σάρκα τῷ πνεύματι καὶ τὰ λογισμῶν θηρεύειν θηρία καὶ τοὺς χηραμοὺς ἀνακαθαίρειν, τῶν ἐννοιῶν ἰχνηλατουμένων νήφουσι καὶ φυλακτικαῖς οἷα καὶ ταχέσι διανοίας πρὸς τὰ κρείττω κινήσεσιν. ὅθεν οὐδὲν ἡγεῖτο μέγα τῶν ὅσα νένευκε πρὸς φθορὰν καὶ πέφυκε τῷ

2 μεταβιβάζουσα] sic codex. 8 cod. ἀναστόμα || cod. ὀφθαλμὸν. 11 cod. λειμῶν || Psalm. LXXXIII, 5. 14 cod. θεῖά τινι. 16 cod. ἦν. 18 cod. προσῆν. 19 τὸ τοῦ ὄφεως φρόνιμον] Matth. x, 16. 20 τῷ τῆς περιστερᾶς ἀκεραίῳ] Matth. x, 16. 23 cod. καταφύσιν. 25 cod. ἀναβαίνοι. 26 cod. σπουδῇ. 28 cod. ἰχνηλατουμένων νήφουσι καὶ φυλακτικοῖς.

χρόνῳ συμπαραρρεῖν, οὐ δόξαν, οὐ πλοῦτον, οὐ τὴν ἐν λόγοις σοφίαν αὐτήν, ἀλλ' ἕνα πλοῦτον ἐπλούτει, τὴν ἀρετὴν καὶ γνῶσιν τὴν ἀληθῆ, ἣν προξενεῖν τὸ φιλοσοφεῖν ἔργῳ μόνον ἐπίσταται. ᾔδει γάρ, ὡς εἰ καὶ φιλοσοφία γνῶσις τῶν ὄντων, ἀλλὰ καὶ πρᾶξις ἀληθοῦς θεωρίας ἐπίβασις, ἐκ δὲ θεωρίας ἡ τῶν ὄντων ἀκριβὴς κατανόησις. ἄρα τῇ πράξει τὴν ἀληθῆ φιλοσοφίαν ἐφαίνετο κατακτώμενος. τοιοῦτος ἦν ὁ νέος Ἰωσήφ, ὁ τῆς σωφροσύνης κανών, ὁ κατὰ παθῶν καὶ δαιμόνων περιφανῆ στησάμενος τρόπαια, καὶ εὐδοκιμήσας μὲν αὐτός, εὐδοκιμωτέρους δὲ πολλοὺς τῷ καθ' ἑαυτὸν ἐργασάμενος ὑποδείγματι. τί μοι πρὸς ταῦτα Σωκρατικαὶ παραινέσεις, ἢ Πλατωνικαὶ νομοθεσίαι, ἢ πᾶσα ἡ ἐπιπλάστῳ σχήματι τελουμένη δῆθεν Ἑλληνικὴ ἀρετή; ποῖος Σόλων νομικοῖς θεσπίσμασιν, ὡς ὑποθήκαις οὗτος πρακτικῆς φιλοσοφίας ἔργῳ λαλούσαις καὶ πράγματι, πρὸς βελτίους ἤγαγεν ἀνθρώπους διατριβάς; τίς Ἐπιμενίδης τὰ θεῖα σοφὸς οὕτω πολλοῖς βίου θεοειδοῦς ὑπόθεσις γέγονε, δι' οὗ παθῶν μὲν νέκρωσις, ψυχῆς δὲ καὶ σώματος κάθαρσις καὶ ὁ ἡσύχιος ἀνέλαμπε καὶ ἀπράγμων βίος, ἐν ᾧ καὶ θυμοῦ κημὸς καὶ γλώσσης ἐχαλκεύετο χαλινὸς καὶ ἡ τῶν μερῶν τῆς ψυχῆς ἐπραγματεύετο συμφωνία, ἐξ ὧν καὶ δι' ὧν ἓν εἶδος ἀπηκριβοῦτο καλῶς, τοῦ ἀρχαίου κάλλους ἀποστίλβον θείας μαρμαρυγάς;

6. Ἐπεὶ δὲ τοῦ χρόνου προβάντος εἰς ἄνδρας ἐτέλει καὶ τὴν πρακτικὴν ἀνδρικώτερον φιλοσοφίαν μετήρχετο, γεγηθὼς ὁ τούτου καθηγητὴς ἐπὶ τῷ ἐν σώματι τοῦ ἀνδρὸς ἀσωμάτῳ βίῳ καὶ ὡς οἰκείῳ καλλωπιζόμενος ἐπὶ τὸν κατ' ἐκεῖνο καιροῦ τοὺς τῆς Βασιλίδος ἀρχιερατικοὺς οἴακας χειρίζειν λαχόντα ἄγει τῷ τοῦ πρεσβυτέρου τελεσθησόμενον χρίσματι· ὃς οὐ μόνον διὰ τῶν ἐν μέσῳ βαθμῶν ἐπὶ τὸ τῆς ἱερωσύνης ἀπήγαγεν ἔνδυμα, ἀλλὰ ταῖς ἐκείνου μαρτυρίαις καὶ τοῦ μοναχικοῦ φροντιστηρίου καθηγεῖσθαι κεχειροτόνηκε. καὶ λοιπὸν ὁ νέος Μωϋσῆς χειρίζεται τὴν δημαγωγίαν, τῇ μικρᾷ φιλοσοφίᾳ πολλὴν συλλεξάμενος ποιμαντικῆς ἐμπειρίαν. ἀρετῆς γὰρ τελειότητα, οὐχ ἵν' ὅπως τὸ κατ' αὐτὸν μόνον

3 cod. ἥν. 4 cod. ὡσεί. 5 cod. ἀκριβῆς. 6 cod. ἆρα. 8 cod. καταπαθῶν. 19 cod. ἐξῶν. 25 cod. οἰκεία. 26 cod. οἴακας.

ἔχῃ καλῶς, διωρίζετο, ἀλλ' ὅπως ἂν τῷ περιόντι πᾶσι κανὼν χρηματίσειεν. οὐχ οὕτω γὰρ εὔηχοι σάλπιγγες ἐν καιρῷ παρατάξεως πρὸς μάχην διεγείρειν τοὺς στρατευομένους πεφύκασιν, ὡς οἱ κατὰ ἀρετὴν ἱδρῶτες πρὸς τὴν τῶν νοουμένων ἐχθρῶν τοὺς ὑπὸ χεῖρα παρορμῶσιν ἀντιπαράταξιν. καὶ καθάπερ στρατηγὸς πᾶσαν κατὰ τῶν πολεμίων τὴν κατ' αὐτὸν κινεῖ φάλαγγα, ἐπειδὰν αὐτὸς τῆς μάχης κατάρξηται, ἔργοις πρὸς ἀνδρείαν διεγείρων τοὺς σὺν αὐτῷ, οὕτως καὶ οἱ τῶν παθῶν καταστρατηγήσαντες, ἐπειδὰν τοὺς τῆς νίκης στεφάνους λαμπροὺς ἀναδήσωνται, καθίστανται πᾶσι παραίνεσις ἔμπρακτος. ἐντεῦθεν αὐτῷ αἱ μικροῦ παντελεῖς ἀσιτίαι καὶ ἀγρυπνίαι καὶ τὸ ἀνένδοτον ἐν προσευχαῖς, ἀφ' ὧν καὶ δι' ὧν ἡ τοῦ σώματος τῆξις καὶ ἡ ἐν σαρκὶ ἄσαρκος διαγωγὴ καὶ ἡ γαλήνη τῶν λογισμῶν· ἐντεῦθεν ἡ ἀκραιφνὴς τῶν δεόντων διάσκεψις καὶ κρίσις, καὶ ἡ τῶν ἡδέων πάντων ὁμοῦ καταφρόνησις, καὶ τὸ περιστέλλειν χειμῶνος ὥρᾳ καὶ θέρους ἑνὶ χιτῶνι τὸ σῶμα, καὶ ἡ χαμευνία καὶ ἡ σχέδιος τράπεζα ἄρτῳ δεξιουμένη καὶ λαχάνοις τὸν ἀσκητήν, οὐ κατὰ τοὺς πολλοὺς ἐπί τισι χρόνοις, ἀλλ' ἐξ ἁπαλῶν ὀνύχων, ἐκ πρώτης αὐτῆς ἡλικίας συμπαραταθεῖσα μέχρι τῆς ἐσχάτης καὶ γηραιᾶς. ἐντεῦθεν τὸ κεκρᾶσθαι τὸ αὐστηρὸν τῇ γλυκύτητι καὶ τῇ λειότητι τὸ τραχύ, ὡς μήτε τὸ ἐλεγκτικὸν δι' αὐστηρίαν ἀνόνητον, μήτε ἀπρόσιτον διὰ τραχύτητα τὸ παιδευτικόν, ὡς θαυμαστήν τινα διὰ πάντων εἶναι τὴν συμφωνίαν τῶν ἀγαθῶν. καὶ ἦν ἰδεῖν—ἐκεῖ γάρ μου ἡ διάνοια γίνεται — ἐν καιρῷ τῆς θείας τελετῆς προβεβλημένον τὸν θυηπόλον τοῦ ἀσκητικοῦ τάγματος, καθάπερ ἐκεῖνον ὁ λόγος γράφει τὸν Σαμουήλ, καὶ ὅλον ἐστηλωμένον θεῷ καὶ τῷ βήματι καὶ συγγινόμενον θεῷ νοὸς ἀκηλιδώτοις ἐπιβολαῖς, καὶ ταῖς θείαις θεωρίαις ὅλον θεοειδῆ γινόμενον, ὅλον ἔκδημον, θεοφορούμενον ὅλον καὶ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενον. δοκεῖ δέ μοι καὶ θείας δυνάμεις περὶ αὐτὸν ἑστάναι καὶ συλλειτουργεῖν αὐτῷ (ὢ θυσίας θεοειδοῦς, ὢ τελετῆς τελειοποιοῦ), ὡς τῆς ἐν σώματι ἀσωμάτου κοινωνοῦντι ταύταις διαγωγῆς.

4 cod. ἰδρῶτες. 6 cod. αὐτῶν. 12 cod. διῶν. 15 cod. περὶ στέλλειν || cod. ἐνὶ. 18 cod. ἐξαπαλῶν. 19 cod. γηραιὰς. 20 cod. κεκράσθαι. 21 cod. διαυστηρίαν. 22 cod. διατραχύτητα. 31 cod. ὦ hic et infra. 32 cod. διαγωγή.

7. Ταῦθ' ὁρῶν ὁ τούτου πατὴρ κατὰ σάρκα εἰς ἔφεσιν ἦλθεν τὸ τοῦ βίου σχῆμα ἀμεῖψαι καὶ τὸ μοναχικὸν μεταμφιάσασθαι ἔνδυμα· εἰς γὰρ ἀρετῆς λόγον σχεδὸν οὐδὲν ὑπελείπετο, τῆς ἀμείνονος διαγωγῆς ὅλην αὐτοῦ τὴν ζωὴν ἀναρτησάμενος, καὶ τοῦτο μὴ δι' ἑτέρας χειρός, ἀλλὰ δι' ἐκείνης τῆς ἱερᾶς, ἧς αὐτὸς ἐγεγόνει γεωργός, ἐπεθύμει λαβεῖν, καὶ ταύτην χάριν ἀντὶ πάντων ἀπῄτει τροφείων χειρὶ τοῦ υἱοῦ τελεσθῆναι, καὶ τὴν πολιτείαν μεθαρμόσασθαι. ἀναγεννᾷ οὖν τὸν γεννήσαντα καὶ τῷ τῆς σωματικῆς γενέσεως παρασχόντι τὰς π𝓀ηγὰς τὴν ψυχικὴν ὁ παῖς καὶ καθαρὰν ἐργάζεται ἀναγέννησιν, καὶ χρόνοις τισὶ τὸν ἀσκητικὸν ἑλκύσαντα ζυγὸν καρτερῶς, πλήρη ἡμερῶν, πλήρη ἀρετῶν, πλήρη χαρίτων, καθάπερ τινὰ καρπὸν ὥριμον πρὸς τὰς οὐρανίους ἀποθήκας, ἐπιστάντος τοῦ τέλους, μετὰ χρηστῶν τῶν ἐλπίδων παραπέμπεται, τοὺς τῶν πόνων στεφάνους ἀξίους ἀποληψόμενον. εἶχε μὲν οὕτω καὶ λίαν τὰ κατ' αὐτὸν θαυμαστῶς· οὐ γὰρ πάντα λόγῳ δυνατὸν διαζωγραφεῖν. ἑρμαίου δὲ λαβόμενος τοῦ καιροῦ, τῆς συμπαθοῦς γνώμης, ἣν ὤδινεν ἐκ μακροῦ, τὰς πηγὰς ἀνεστόμωσε καὶ τοὺς τοῦ ἐλέου ὀχετοὺς ἐπαφῆκεν, τὸν τῶν πενήτων αὐχμὸν διαλύοντας, ἐκφορῶν μὲν εἴ τι περιττὸν εἰς τὴν ἐκείνων χρείαν, ἐκφορῶν δὲ πολλὰ καὶ τῶν ἀναγκαίων· οὐ γὰρ τῇ τοῦ περισσεύματος μεταδόσει, τῇ δὲ τοῦ ὑστερήματος ἐκεῖνος τὸν ἀληθῆ ὡρίζετο ἔλεον καὶ κοινὸν ὄφελος ὁμοῦ προύκειτο πλουσίοις καὶ πένησι, τοῖς μὲν λύων τὰς ἀπορίας, τοὺς δὲ τῆς ἀποκειμένης τοῖς ἀσυμπαθέσιν ἐξαρπάζων βασάνου, κοινὸς εὐεργέτης, κοινὸς κηδεμὼν ἄρχουσιν καὶ ἀρχομένοις, τὰς ἁπάντων μεταπλάττων γνώμας καὶ ῥυθμίζων πρὸς τὰ κρείττω τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ὀλίγα μὲν λόγοις, τὰ πλεῖστα δὲ ἔργοις πρὸς ἀρετὴν ἐκκαλούμενος. ὅθεν αἰδέσιμος ἦν τοῖς ἐν τέλει, αἰδέσιμος τοῖς ἐν ἀξιώμασι, τοῖς κρατοῦσιν αὐτοῖς, καὶ πᾶν οἰκονομίας ἔργον αὐτῷ κατευθύνετο, μηδενὸς ἀντιπράττοντος. ἐκ δὲ τούτων ἄπιστον οὐκ ἦν, ὡς εἰς κοι-

1 cod. κατασάρκα. 2 cod. μετάμφιάσασθαι. 5 cod. διεκείνης. 12 cod. καθάπέρ τινα; item deinceps. 17 cod. συμπαθοὺς. 22 cod. ὄφελος. 26 cod. καθεαυτὸν ὑπ. ὀλίγα.

νὸν ὄφελος θεὸς ἐνήργει ποτὲ καὶ παράδοξα δι' αὐτοῦ. κἂν, ὅσον ἦν δι' ἀρετὴν ἐργάσασθαι θαύματα δυνατός, τοσοῦτον ἐπικρύψαι καὶ λαθεῖν, ἐσθ' ὅτε πράξας αἰνίγμασί τισι καὶ σκιαῖς, ἐπιτευκτικός, πλὴν ὅπερ εἰς γνῶσιν ἦλθεν πολλῶν καὶ πιστεύεται γεγονός, ὁ λόγος δοκιμάσει διεξελθεῖν.

8. Οὐκ ἐβούλετο πόλει μιᾷ, καίπερ οὔσῃ τοσαύτῃ, τὸ ἑαυτοῦ περιγράφεσθαι συμπαθές, ἀλλὰ τῇ ὅσην ἥλιος ἐφορᾷ ἐφιλονείκει συνεπεκτείνεσθαι· ἐντεῦθεν τῆς τὸν ἔλεον βλυζούσης χειρὸς μετεῖχον Σκύθαι καὶ Θρᾷκες, ναὶ δὴ σὺν ἄλλοις καὶ οἱ πρὸς τῇ Ἀσίᾳ Μυσοί. καὶ δὴ πρὸς τοὺς ἐν Ὀλύμπῳ ἀσκουμένους, οἷς μελέτη κατὰ παθῶν καὶ δαιμόνων ἀνδραγαθίζεσθαι, ποτὲ διαβάς, ἐπεὶ τὸ ἐπὶ χεῖρας χρυσίον εἰς τὴν ἐκείνων χρείαν ἦν ὅλον δεδαπανηκώς, ἐπανῆκεν τῇ πόλει φροντίδας ἀνελίττων καὶ πανταχόθεν περισκοπῶν, ὅθεν πάλιν πόρον τοῖς πένησιν ἐκπορίσεται. ἀλλ' οὐκ ἀφῆκεν ἐπὶ πολὺ τοῦτον θεὸς ἀθυμεῖν. τερατουργεῖ δὲ συνήθως καὶ τῶν φροντίδων ἐλευθεροῖ. τῶν τις γὰρ ἀγνώστων ἅμα τοῦ τὴν πόλιν εἰσδῦναι, εἴτ' ἄνθρωπος εἴτ' ἄγγελος ἀνθρώπου μορφὴν ὑπελθών, παριόντι διὰ τῆς στοᾶς, ἐκ στενωποῦ τινος ἐπιστὰς ἀπόδεσμον ἐγχειρίζει χρυσίου καὶ "Τῶν οὓς φροντίζεις εἰς ἀνάλωμα λάβε" φάμενος θᾶττον ἢ λόγος ἀπέστη καὶ γέγονεν ἐκποδών. καὶ ἡ μὲν χεὶρ εἶχε τὸν χρυσόν, τοῖς δ' ὀφθαλμοῖς ἄληπτος ἦν ὁ παρασχών. τοῦτο τῆς πρὸς θεὸν οἰκειώσεως ἐκείνου σημεῖον οὐκ ἀγεννές. τοῦτο τῆς μεγαλοψύχου γνώμης σύμβολον ἐναργές. τοῦτο τῆς Ἀβραὰμ εὐλογίας ἔσχε τὸν πληθυσμόν, τῇ φιλοξένῳ καθάπερ τις σπόρος γενόμενον δεξιᾷ. ἐπὶ τοιούτοις ὁ μέγας Ἀντώνιος ἐνευθήνει καλοῖς. αὕτη τῇ φιλοπτώχῳ χειρὶ τοῦ μὴ σπανίζειν χορηγούσῃ γέγονεν ἀφορμή, πρὸς ἣν μηδὲ τὴν Κροίσου ἐκείνου τοῦ Λυδοῦ εὐδαιμονίαν καὶ τὰς χρυσᾶς πλίνθους, μηδὲ τὸν Μίδα μῦθον, παραβάλλεσθαι δυνατόν. ἐν τούτοις δὲ ὄντα ἔβλε-

---

2 cod. διαρετὴν || cod. τὸσοῦτον. 3 cod. τισὶ. 4 cod. γεγωνῶς. 6 in margine Κάθισμα. Θαῦμα α'. 9 cod. σκῦθαι || cod. σὺνάλλοις. 10 cod. ἐνολύμπω. 11 cod. καταπαθῶν. 12 cod. ἐπιχείρας. 16 cod. τὶς. 18 cod. ὑπελθῶν || cod. τινὸς. 20 cod. ἐκ ποδῶν. 21 cod. ὀφθαλμοῖς. 23 cod. σύμβοῦλον.

πεν ἡ πόλις καὶ τῶν ἀρετῶν τὸν ὄγκον οὐκ ἔκρυπτεν, οὐκ ἐδίδου σιγῇ τῶν ἔργων τὸ μέγεθος· ἡ δὲ φήμη διεδέχετο καὶ μὴ παρόντα πᾶσιν αὐτοῖς ἐδείκνυ τοῖς πράγμασι, καὶ μικροῦ χρησμοὶ στομάτων διὰ πάντων ἐκπίπτοντες τὸ μέλλον ὡς παρὸν προεφήτευον. ταῦτα ᾔδετο πόλεσι πολλαῖς, ᾔδετο ἀγροῖς, ἐλαλεῖτο ἐν ὄρεσιν, ἐν σπηλαίοις, ἐν ἔθνεσιν· διὰ πάντων γὰρ ἐφοίτα τὸ θαῦμα καὶ κοινὸν ὑπῆρχε τῆς οἰκουμένης διήγημα. ταῦτα τῆς τοῦ Χριστοῦ νύμφης ἐκκλησίας ἀνεκίνει τὸν ἔρωτα καὶ περικαῶς εἶχε διψῶσα τὸν ἐρώμενον καὶ τὸν καιρὸν ἐπεζήτει τῆς συναφείας, καὶ τὸν τῆς νυμφεύσεως χρόνον προβλέπουσα ἐπὶ γλυκείαις ἐλπίσιν ἡδέως ἐσάλευεν· ᾔδει γάρ, ὡς οὐ χηρωθήσεται τῇ τοῦ προλαβόντος ἀξίᾳ νυμφίου, ἀλλὰ τὸν ἐκ βρέφους ἱερὸν πρὸς θεὸν καλούμενον παραπέμψασα, φημὶ δὴ τῷ τοῦ στέφους ἐπωνύμῳ, τῷ ἐκ σπαργάνων ἱερῷ ἱερῶς ἁρμοσθήσεται, τὸ τῇ ἐκείνου στερήσει κατηφὲς αὐτῇ διαλύοντι.

9. Ὅθεν ἐπιστάντος τοῦ καιροῦ, καθ' ὃν ἔδει ταῦτα γενέσθαι, ψῆφος παντὸς τοῦ τῶν ἀρχιερέων καὶ ἱερέων πληρώματος καὶ τοῦ ὅσοι τὸν μονάδα βίον διήθλουν, ναὶ μὴν καὶ τῆς συγκλήτου βουλῆς, ἐπὶ τὸν ἄξιον τῆς νύμφης Χριστοῦ ἐκκλησίας νυμφίον ἐφέρετο. καὶ τοῦτο βασιλεὺς ὁ μέγας ὁρῶν, πανταχοῦ ~~τῆς~~ [τῆς] διανοίας [~~ὀφθαλμοῖς~~] περιφέρων τὸ βλέμμα, καὶ πρὸς τὸ κατεπεῖγον ἀεὶ τὴν θεραπείαν ποιούμενος, δεινὸς ὢν μετρῆσαι τὸ παρελθὸν καὶ τὸ παρὸν σκοπῆσαι καὶ δι' ἀμφοῖν ἀσφαλῶς τὸ μέλλον τεκμήρασθαι, τὴν ψῆφον ἐκύρου, μᾶλλον δὲ τὸ πᾶν δι' αὐτοῦ θεὸς ἐπεσφράγιζεν, καὶ καθάπερ τινὰ νικηφόρον ἀθλητὴν ἀναπέμπων εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀρχιερατικὸν ἀνάγει θρόνον, μειζόνων ἀγώνων καὶ λαμπροτέρων στεφάνων τευξόμενον. καὶ λοιπὸν εἶχεν ἡ νύμφη Χριστοῦ τὸν τῆς ἱερωσύνης θεσμὸν ἀκριβοῦντα καὶ ζῶντα ταῖς τῶν δεομένων ἐλπίσιν, βρύοντά τε τὸν ἔλεον δαψιλῶς καὶ χερσὶ πενήτων προκείμενον, τελοῦντα τὰ θεῖα καὶ τοῖς τελουμένοις ἀρετῆς εἰκόνα, ἀνδρείας στήλην, ἄγαλμα σωφροσύνης καὶ

6 cod. ἐφοῖτα. 8 cod. περὶκαῶς. 10 cod. ἐπιγλυκείαις. 13 cod. παρὰ πέμψασα || τῷ τοῦ στ. ἐπωνύμῳ = Stephanus I patriarcha. 18 cod. σύγκλίτου. 20 ~~τῆς et ὀφθαλμοῖς addidi~~. 23 cod. δϊαμφοῖν. 26 cod. ὀλυμπίαν.

δικαιοσύνης κανόνα δεικνύμενον, τὸν βίον μᾶλλον ἢ τὴν γλῶσσαν διδάσκαλον προτεινόμενον. ἀλλ' οὐκ ἠρκέσθη τοῖς προλαβοῦσιν, οὐ πρὸς ἀνέσεις εἶδεν, ὡς ἄν τις ἄλλος, οὐδὲ τοῦ γήρως ἐφείσατο, ἀλλ' ἱδρῶτας ἱδρῶτες καὶ πόνοι πόνους καὶ ἱερὰς φροντίδας ἱερώτεραι διεδέχοντο, καὶ καθάπερ τις ὑπόπτερος τῇ τοῦ ἁγίου πνεύματος δυνάμει ἐν γηραιῷ τῷ σώματι ἀναλαμβάνει προθυμίαν ἀκμάζουσαν καὶ πάσας διατρέχει τὰς τοῦ Χριστοῦ ἐκκλησίας, ὁμοῦ μὲν λιταῖς τὸ θεῖον εὐμενιζόμενος, ὁμοῦ δὲ τὰς τῷ χρόνῳ πεπονηκυίας κατὰ τὸ δυνατὸν ἀνακτώμενος, τούς τε τοῦ βήματος κατωκλακότας ἐξ ἀπορίας ἀφθόνοις χορηγίαις ἐπανορθούμενος καὶ ταῖς καθημεριναῖς προόδοις ταῖς τῶν πενήτων μυριάσι διανέμων τὸν ἔλεον· δι' οὗ καὶ ἄπορος εὐημέρει, καὶ ξένος τῆς πατρίδος ἐπελανθάνετο, καὶ ὀρφανὸς οὐκ ἐδάκρυεν καὶ τὴν τῆς χηρείας σιδηρᾶν ἡ χήρα κατεσβέννυεν κάμινον. τίς δικαιοσύνης προέστη οὕτως; τίς ἀδικουμένοις ὤφθη σωτήριος; τίς ἀδικούντων ὁρμὰς ἐπέσχε; τίς διέλυσεν ἔριδας; τίς ὀφρὺν ἀνασπωμένην κατέσπασεν; τίς γνώμην ἀλαζόνα πρὸς μετριοφροσύνην μετήγαγε; πάντα καὶ διὰ πάντων αὐτὸς ἦν ἐξομαλίζων τῷ καθ' ἑαυτὸν ὑποδείγματι, σωτήριον φάρμακον τοῖς ψυχικοῖς γινόμενος ἀρρωστήμασιν. ἀλλὰ τίς πενήτων δάκρυσι ῥάνας τὸ δικαστήριον ἀντὶ τοῦ τῶν δικαίων τυχεῖν μετὰ τῆς πενίας ἀπῆλθεν, τοῦ δικαίου τὴν ἀποτυχίαν ἀποκλαιόμενος; ποία δὲ χήρα, τίς ὀρφανός, εἰς ὄψιν ἐλθόντες ἐκείνου, ἢ μετ' αὐτήν, ἀπωδύρατο τὴν ὀρφανίαν, ἢ κουφιζομένην οὐκ ἔσχε τὴν συμφοράν; πᾶσι παρῆν τῇ προνοίᾳ, τὸ παρενοχλοῦν ἀλγεινὸν ἑκάστῳ ταῖς εὐεργεσίαις διαλυόμενος, λόγοις παρακαλῶν, ἐπικουρῶν χρυσίῳ, περιστέλλων ἀμφιάσμασιν. εἶδον καὶ φύσεις συνεῖναι φύσιν οὐκ ἐχούσας ὑπὲρ λόγον ἐν αὐτῷ συνιούσας, τὸ αὐστηρὸν καὶ μειλίχιον, τὸ ταπεινὸν καὶ σεμνόν, τὸ ἀπότομον καὶ ἐπιεικές· ὧν τὰ μὲν τοῖς βιαζομένοις, τὰ δὲ τοῖς τὴν βίαν ἐπάγουσιν ἐφηρμόζετο, καὶ τὰ μὲν ἦν φάρμακα τὸ σο-

3 cod. εἴδεν. 9 cod. πεπονηκυῖας. 10 cod. κατωκλακότας ἐξαπορίας. 11 cod. μϋριᾶσϊ. 13 cod. ἐδάκρυσεν. 14 cod. σιδηρὰν ἡ χῆρα. 16 cod. ὁρμᾶς || cod. ὀφρῦν. 18 cod. διαπάντων. 22 cod. ποῖα δὲ χῆρα. 24 cod. προνοῖα. 27 cod. ἐναυτῶ.

βαρὸν καὶ φλεγμαῖνον καὶ τὴν ὀφρὺν ἀνασπώντων κατὰ τοῦ πλησίον καθαίροντα, τὰ δὲ τὸ πονούμενον δεξιούμενα.

10. Τούτοις τὸ τῆς ἐκκλησίας πρὸς τὰ κρείττω μετερρυθμίζετο πλήρωμα, καὶ θεὸς εὐμενής, καὶ βασιλεὺς ὁ μέγας γαννύμενος ἐνευφραίνετο· τῆς δὲ ἀδεκάστου γνώμης ἐπὶ τῇ ψήφῳ τὴν κρίσιν ὁρῶν ἐπὶ τῶν πραγμάτων τὸ ἀδιάψευστον ἔχουσαν, καὶ δι' αὐτοῦ τὸ παλαιὸν τῆς ἐκκλησίας ἕλκος, ἤτοι σχίσμα, εἰς συνούλωσιν προθέμενος ἀγαγεῖν, εἰς ἓν συνάγει τὰ Ἑῷα καὶ τὰ Ἑσπέρια, καὶ τὸ τῆς φιλοσοφίας ἄνθος ῥητορικῇ κερέσάμενος προτείνει γλῶσσαν σωτήριον καὶ πειθοῖ δικαίᾳ, χαρίεντι προσώπῳ καὶ μειδιῶσιν ὀφθαλμοῖς λύει τὰ σκάνδαλα καὶ συνάπτει τὰ διεστῶτα, καὶ δείκνυσιν ἔργοις ὅσον τὸ μέσον βασιλέως λόγοις ἐντεθραμμένου καὶ κράτους ἀμετόχου τούτων, τότε μάλιστα τὸν τῆς ἐκκλησίας ἑνωτικὸν κρατῆρα κιρνῶν καὶ ἐν ἀρχιερεῖ τράπεζαν προθεμένῳ, τοῖς τῆς πρακτικῆς φιλοσοφίας ἀγαθοῖς εὐθηνουμένην καὶ πλήθουσαν. καὶ ἔπρεπε βασιλείας ἐμφιλοσόφου καὶ ἀρχιερωσύνης ἐμπράκτου τὸ μέγα καὶ θαυμαστὸν ἐκεῖνο ἔργον γενέσθαι καὶ σπούδασμα· δι' ὧν ἀδέκαστος δίκη καὶ τὸ λημμάτων ἄχραντον βῆμα καὶ ἡ τῶν συνεχῶν σοφὴ δικαστηρίων ἐπίνοια, δι' ὧν τὸ παρρησιάζεσθαι τὴν δικαιοσύνην καὶ τὴν ταύτης μὴ εὑρίσκειν χώραν ἀντίθετον, δι' ὧν καὶ δάκρυον ὀρφανικὸν προσῆν ἀναστέλλεσθαι καὶ χηρῶν στεναγμὸν καὶ πάσης κακούργου καὶ δολερᾶς σκέψεως στραγγαλιὰν διαλύεσθαι, στρατηγίδα τε στρατηγὸν ἔπαθλον ἀρετῆς ἀποφέρεσθαι, καὶ κέρδους αἰσχροῦ καθαρὰν χεῖρα χειρίζεσθαι τὰ κοινὰ καὶ δημόσια, καὶ πλούσιον τῶν ὑπαρχόντων δήμευσιν μὴ ὑφίστασθαι, καὶ πένητα ὑπάρχειν ἐπηρείας ἀμέτοχον, καὶ γεωργὸν ἡδεῖαν τέμνειν τὴν αὔλακα, μὴ δεδοικότα φόρων ἔκτισιν, ἧς τοὺς καρποὺς γῆς οὐκ ἀπέλαυσε. τούτων καὶ χεῖρες εἰς οὐρανὸν ταθεῖσαι καὶ τῶν ὀφθαλμῶν λιβάδες ἀφεθεῖσαι δακρύων πάλαι τὸ θεῖον ἐξευμενίσαντο, καὶ ἣν τὸ ὑπήκοον ἐξετράχυναν τοῖς πλημμελήμασιν καθ' ἑαυτῶν δικαίαν ὀργήν, τοῖς τῶν δακρύων

1 cod. ὀφρῦν ἀ. κατατοῦ. 7 cod. ἕλκος. 19 cod. σοφῇ. 20 cod. χῶραν. 23 cod. διὰ λύεσθαι.

ῥείθροις—ὢ φιλανθρώπου γνώμης, ὢ συμπαθοῦς—ἐξομαλίσαντες μετέβαλον καὶ πάντων ἀνέστειλαν δάκρυα, συμπαθείας ῥάναντες δάκρυον καὶ τῷ πρὸς τὸ ὁμόφυλον ἐλέῳ τὸν θεῖον ἄνωθεν καθελκυσάμενοι ἔλεον καὶ τὸ πρόσωπον τῆς γῆς ἀφανιζόμενον αὐχμῷ τοὺς θείους οἰκτιρμοὺς ἀνακαινίσαι ἐξεβιάσαντο. ταῦτα τῆς φιλοσόφου γνώμης ἔργα καὶ κατορθώματα, ἀδελφὰ τῶν Μωσέως καὶ Ἀαρών, ἰσόρροπα τῶν Ἠλιοὺ καὶ Ἐλισσαίου, τῶν Δαβὶδ καὶ Σαμουὴλ παραπλήσια.

11. Μέγα τῆς ἀρετῆς ἐκείνου γνώρισμα τὸ τηνικαῦτα τὰς ἀρχιερατικὰς ἀνέχειν φροντίδας, ὅτε βασιλεὺς ἐξ ἔτι παιδὸς τῷ τῆς δικαιοσύνης ἐντραφεὶς γάλακτι, οὐ πρὸς ἀνέσεις ἰδών, οὐ παραιτησάμενος κόπους, ὧν οἱ καρποὶ ἡδονὴν ἀκήρατον φέρουσιν, ἀλλ' ἑαυτὸν τοῖς λόγοις ἀναθείς, τὸ φιλοσοφεῖν τῶν ἄλλων καλῶν ὡς δι' αὐτοῦ συνεισφερομένων αἱρετώτερον ἡγησάμενος δημηγόρον γλῶσσαν προέτεινε, πολὺ γλυκύτερα μέλιτος προχέουσαν ῥήματα, παρόμοια τοῦ Σολομῶντος, τῶν Δαβὶδ ἰσοστάσια· ὅτε καὶ τράπεζαν λόγων μᾶλλον ἢ βρωμάτων προυτίθετο καὶ δογμάτων ὡς ἔκ τινος πηγῆς νᾶμα δαψιλῶς ἀνεδίδετο καὶ τοῦ γραφικοῦ βάθους ἀπταίστως ἡ κρυφιότης ἀνιχνεύετο, καὶ τῶν ἀγαθῶν ὁ χορὸς ὅλως εἶχε παρρησιάζεσθαι. ἐν τούτοις ὁ τοῦ θεοῦ ἄνθρωπος ὢν καὶ σὺν ἀρεταῖς τοὺς λόγους βλέπων ἀνθοῦντας ἐν βασιλείῳ ψυχῇ, νεωτέρῳ χρωμένῃ σώματι, καὶ ἀρχαίας εὐδαιμονίας ἴχνη καὶ πᾶσαν ἄλλην ἀκολουθοῦσαν κατάστασιν, ὅσην πολιτικήν τε καὶ οἰκονομικήν, ναὶ δὴ καὶ ὅσην ὁ τῆς τῶν πραγμάτων κρίσεως λόγος εἰς τὴν ἠθῶν ἀπένειμε παίδευσιν, ὅλως ἐγένετο τῆς εὐφροσύνης καὶ θεὸν ἀνύμνει, εὐχαριστίας ἀφορμὴν τὸ πρᾶγμα ποιούμενος καὶ παρευδοκιμεῖσθαι λέγων ἡδέως ὑπ' ἀνδρὸς βασιλέως, καὶ ταῦτα κοσμικαῖς περιαντλουμένου φροντίσι, τῶν δὲ καταγηρασάντων ἐν τοῖς πνευματικοῖς ἀκριβέστερον τοῖς πράγμασιν ἐπιβάλλοντος φιλοτιμίᾳ φύσεως καὶ λόγων περιουσίᾳ, μετὰ τῶν ἄλλων καὶ ὅσα γε εἰς ψυχὴν μάλιστα φέρει διακριβοῦντος ἐπιστημόνως, καθάπερ οὐ

1 cod. ὢ φ. γ. ὢ συμπαθοῦς. 7 cod. ἡλιοῦ. 10 cod. ἐξέτι. 14 cod. αἱρετ. 15 cod. προχέουσα. 18 cod. νάμα. 21 cod. συναρεταῖς || cod. ψυχή. 28 cod. κατὰ γηρασάντων.

μόνον σωμάτων, ἀλλὰ καὶ ψυχῶν κρατοῦντος ἀγχινοίᾳ γνώμης καὶ διανοίας ὀξύτητι. ὅθεν, ὥσπερ ἑαυτὸν καταιδούμενος ὁ θαυμάσιος, κατεφρόνει πάσης θεραπείας ἐν ἡλικίᾳ ἐκείνῃ τῇ γηραιᾷ, ὑπερόπτης παντελῶς τοῦ τε σώματος καὶ τῶν ὅσοις οἶδεν ἀνακτᾶσθαι γινόμενος καὶ πρὸς τὸ συνεργεῖν ἐν τοῖς κατ' ἀρετὴν ἀγῶσι τὴν ψυχὴν μηδαμῶς τὸ σῶμα λυμαίνεσθαι. διὸ ἐν ἀσιτίᾳ μακρᾷ καὶ σωματικῶν ἀλγημάτων ἐπικρατείᾳ τῶν ὑπὲρ δύναμιν πόνων ἁπτόμενος, τοῦτο δὴ τὸ καὶ τῇ φύσει πολέμιον καὶ μεθόδοις ἰατρικαῖς ἀποτρόπαιον, καίτοι τοῦ σώματος αὐτῷ θερμότερον κεκραμένου φύσει καὶ τὸ πρὸς ἐνδείας ὑποδηλοῦντος οὐκ ἐπιτήδειον, ὅμως, ἵνα μὴ τῆς ἀνθρώπων ἐκτὸς εἶναι δόξῃ φύσεως, τί γίνεται; εἰς ἑαυτὴν ὥσπερ ἡ ψυχὴ ἔσθ' ὅτε συστελλομένη καὶ πρὸς θεὸν ἐκδημοῦσα τῇ βίᾳ τῆς φύσεως, καθάπερ τινὸς ἐκ προνοίας ἄνεσιν πραγματευομένη τῷ σώματι, ἠρεμίᾳ βραχείᾳ τὸ τοῦ τόνου ἀνένδοτον μικρὸν ἔλυεν. καὶ τοῦτο τοῖς μὲν οὐκ ὀρθῶς αἱρουμένοις βλέπειν ἐπίδειξις ἐνομίσθη, τοῖς εὐθέσι δὲ τῇ καρδίᾳ καὶ πρὸς παλαιὰ βλέπειν οὐκ ὀκνηροῖς πατρικὰ παραδείγματα ἀρετὴ καὶ ἀρετῶν ἀκρότης καὶ τῷ ὄντι πρὸς θεὸν ἐνδημία καὶ ἀναχώρησις. τοιοῦτος ὁ δρόμος, οὗτος ὁ βίος, τοιαῦτα τὰ κατορθώματα, ἐν ἀνάγκαις τὸ καρτερικόν, τὸ ἀνδρεῖον ἐν περιστάσει, ἐν πόνοις τὸ εὔτονον, ἐν κόποις τὸ μεγαλόψυχον, ἐν τοῖς κατ' ἀρετὴν ἱδρῶσι τὸ εὔθυμον, ἐν ἀσθενείαις τὸ σθεναρόν, ἐν νόσοις τὸ ἀνύπεικτον παντελῶς καὶ ἀνάλωτον.

12. Ἀλλ' ἔφθασεν ἡ τελευταία νόσος καὶ παρῆν ἡ ἐκδημία καὶ ὅσα τῆς ἐκδημίας, καὶ ἡ ἀνθρωπίνη ἠλέγχετο ἀσθένεια, ἐνδομυχοῦντος τοῦ πυρετοῦ καὶ τὴν φυσικὴν κατανεμομένου λιβάδα καὶ τὰς ἀδαμαντίνας ἐκείνας δυνάμεις καταλύοντος, καὶ προσηνεῖ βλέμματι πάντας εὐλογίαις ἀμειβόμενος τὰ τελευταῖα ἠσπάζετο. καὶ τῆς γλώσσης ἀτονησάσης, ἡ ἱερὰ χεὶρ τὰς ἀφθέγκτους ἐπεσφράγιζεν εὐλογίας καὶ θεὸς ἐκάλει πρὸς τὴν ἄνω σκηνήν, καὶ ἡ οὐράνιος ἐζήτει χοροστασία τὸν ταύτην ἐπὶ γῆς ἀκριβῶς μιμη-

5 cod. καταρετὴν hic et infra. 6 cod. ἐνασιτία 9 cod. ἱατρικαῖς. 10 cod. ὑπὸδηλοῦντος. 14 cod. ἠρεμία. 17 cod. παρὰ δείγματα. 19 cod. ἐναναγκαις. 22 cod. ἐνασθενείαις. 24 cod. τελευταῖα. 29 cod. χεῖρ.

σάμενον, καὶ τοῦ τιμίου καὶ ἱεροῦ σώματος ἡ θεία διαζευχθεῖσα ψυχὴ περὶ λύχνων ἀφὰς σὺν λαμπάδι παρθενίας πλήρει ἐλαίου πρὸς τὸ μέγα καὶ πρῶτον φῶς ἀπεφέρετο. τὸ δὲ ἐντεῦθεν ἡ νὺξ διεδέχετο, καὶ θαῦμα γίνεται τῶν πώποτε θαυμάτων ἐφάμιλλον, τῆς πρὸς θεὸν ἐκείνου παρρησίας δημοσιεῦον τὸ γνήσιον καὶ τὸ μέγεθος σαφῶς ὑπογράφον τῆς ἀρετῆς· τοῦ γὰρ ἐθίμου συμβόλου τὸ τοῦ πατριάρχου τέλος ἐφύπερθεν ἐν κύκλῳ τοῦ μεγάλου ναοῦ τῇ πόλει διασημαινομένου, γύναιον πενιχρὸν τῶν διὰ τῆς εὐεργέτιδος χειρὸς τὴν ἐφήμερον ποριζομένη[ων] τροφήν, ἐξ ὀλισθήματος σφοδροῦ τὸ σκέλος ἔχον κατεαγός, ἐπὶ καλύβης, ἐκ χόρτου καὶ φορυτοῦ πεποιημένης, ἀκίνητον καὶ ἐρριμμένον, τὴν τοῦ σημαινομένου πυθόμενον αἰτίαν, τῷ τῆς σκυθρωπῆς ἀγγελίας ἀθρόῳ συσχεθὲν ἀφωνίᾳ, πρὸς ἀποπληξίαν ἐχώρει καὶ πάρεσιν. ἀνενεγκὸν δὲ μικρὸν ἀνῴμωξε γοερὸν καὶ ἀνεκλαύσατο, καὶ θρήνους ἀναλαβὸν ἐτραγῴδει τὴν συμφοράν, τὸν εὐεργέτην ἀνακαλούμενον, τὸν σωτῆρα, τὴν τῶν πεινώντων τροφήν, τῶν γυμνῶν τὴν σκέπην, τῶν ἀπόρων τὸν πορισμόν, "Ὢ τῆς σκληρᾶς καὶ ἀπηνοῦς ταύτης" λέγον "νυκτός, ἐν ᾗ τὸ προσηνὲς φῶς τῶν πενήτων ἀπέσβη! ὢ νυκτὸς κατηφοῦς, ζόφον ἀφεγγῆ καταχεαμένης τοῖς τῶν πτωχῶν ὀφθαλμοῖς! ὢ Εὔα προμῆτορ καὶ παρακοὴ καὶ φθόνος καὶ ὄφις καὶ θάνατος, τὸ τῆς ἀνθρωπίνης φύσεως ἀπαραίτητον ἐπιτίμιον! ὢ σύντροφε πενία διὰ βίου παρεδρεύουσα καὶ πικρῶς ἐπιτιθεμένη, οὐκέτι ἄρα ἔχεις τὴν τιμίαν καὶ ἱερὰν χεῖρα ἀφ' ἡμῶν ἀποσοβοῦσαν τὴν σὴν εἰδεχθῆ ἀγριότητα; ἐπιτίθου λοιπὸν ἀδεῶς, ἐπέμβαινε κειμένοις. τί τῇ σωματικῇ θραύσει καὶ αἱ τῆς ζωῆς συνεθραύσθησαν ἐλπίδες; οἴχεται τὸ τῶν πενήτων ἐφόδιον! ὤ, τίς Ἐρινὺς τὰς ἐμὰς ἐπήρωσε βάσεις, ἵνα μηδὲ τῷ τάφῳ συνέψωμαι παραπεμπομένῳ τῷ πολλοὺς ἐκ τάφου τῶν λυπηρῶν ἀνελκύσαντι"; τούτοις, ὡς εἰκός, καὶ πλείοσιν ἄλλοις τὸ γύναιον ἀπολοφυρόμενον, καὶ πικροῖς λυσάμενον δάκρυσι καὶ τῇ λύπῃ καὶ ταῖς ἀλγηδόσιν ἐξατονῆσαν, ὕπνῳ γίνεται κάτοχον καὶ γλυκὺ ὄναρ

1 cod. θεῖα. 2 cod. ψυχῆ || cod. ἀφὰς || cod. πλήρη. 6 cod. ὑπογράφων || συμβόλου] in margine θαῦμα β'. 9 cod. ἐφ' ἥμερον || ποριζομένη] sic codex || cod. ἐξολισθ. 10 cod. ἐπικαλύβης. 14 cod. ἀνώμοξε. 17 cod. ὦ hic et infra. 22 cod. διαβίου. 24 cod. ἀπὸ σοβοῦσαν. 27 cod. ἐριννὺς.

ἐπιστάντα βλέπει τὸν πατριάρχην, τῷ τοῦ σταυροῦ τύπῳ τὸ κάταγμα τῇ χειρὶ διαχαράξαντα, καὶ "Ἔχεις" εἰπόντα "τὴν θεραπείαν καὶ τὸ βαδίζειν ἀκώλυτον" παρευθὺ μεταστῆναι τῶν ὄψεων. καὶ τὸ ὄναρ ὕπαρ ἦν καὶ ἡ ἐν ὕπνοις ὄψις ἀλήθεια· ἀνενεγκοῦσα γὰρ τοῦ ὕπνου, καίτοι τῶν ὀδυνῶν ἐνοχλουσῶν οὐδαμῶς, τῷ παραδόξῳ τέως οὐκ εἶχεν πιστεύειν ἡ γυνή, ἀλλ' ἔτι τοῖς ὀνείροις ἐδόκει τρέφεσθαι. τελειοτέρᾳ δὲ νήψει διαλυσαμένη τὸ ἀμφίβολον ἀνήλατό τε περιχαρῶς, φωναῖς εὐχαριστηρίοις τὸ θαῦμα διηγουμένη καὶ τὴν σωτηρίαν πανηγυρίζουσα.

13. Καὶ γυνή τις ἄλλη χρονίᾳ μάστιγι πάθους ἀλγυνομένη κρυπτοῦ, κατὰ τὴν αἱμόρρουν ἐκείνην ἁφῇ τῆς σοροῦ κλέπτει τὴν σωτηρίαν καὶ τῆς μακρᾶς βασάνου τὴν ἀπαλλαγὴν εὑρίσκει βραχείᾳ καιροῦ ῥοπῇ. ποῖος Ἀσκληπιός, τίς δὲ Χείρων, τοιοῦτον ἐκέρασεν φάρμακον; ποίαις ἰατρικαῖς μεθόδοις τοιαύτης εἶδος ἔστι θεραπείας εὑρεῖν; ἀλλὰ τὸ μὲν τίμιον καὶ ἱερὸν σῶμα τὰς τῶν πολλῶν μόλις διαδρᾶσαν χεῖρας, ἄλλας ἀλλαχόθεν μέρος τι λαβεῖν ἐπειγομένας (συνέρρει γὰρ πανταχόθεν πλήθη, πᾶν γένος, ἡλικία πᾶσα), ὡς ἐγγὺς τῆς κηδείας ἠκούσης τοῦ ἀδυνάτου, τῶν πλείστων καὶ βιαίᾳ ὁρμῇ ἀφαρπάσαι τινὰ μερίδα σπευδόντων καὶ σφίσιν αὐτοῖς ψυχικῆς σωτηρίας ἐφόδιον ἀπενέγκασθαι, ὅμως ῥώμῃ καὶ σπουδῇ τῶν σοφῇ προνοίᾳ ἀναστέλλειν ταῦτα τεταγμένων, ἐπείπερ ἀπεδόθη τῷ τάφῳ καὶ τὸ χρέος ἡ φύσις τῇ γῇ διελύσατο καὶ ὁ πηλὸς ἐδόθη τῷ χοΐ, ὁ κεραμεὺς τὸν πηλὸν οὐδ' οὕτως ἀφῆκεν ἀγέραστον, ἀλλὰ θαύμασι δοξάζει καὶ τάφῳ κρυπτόμενον.

14. Τῶν τις γὰρ τῆς βασιλείου τῶν σηρῶν ἱστουργίας ἐπιστατούντων πλευρίτιδι νόσῳ συσχεθείς, ἐπεὶ πᾶσαν σωτηρίας ἀφορμὴν ἑαυτῷ περικοπεῖσαν εἶδεν καὶ ἰατρὸν ἡμέρας ἀριθμοῦντα καὶ ὥρας ἐπιτηροῦντα καὶ καιρὸν πολυπραγμονοῦντα καὶ τούτοις τρίβοντα τὸν χρόνον, γυναῖκα δὲ καὶ παῖδας ἐπ' αὐτῷ τελευταῖα ῥαίνοντας δάκρυα καὶ δριμυτέραν τὴν ὀδύνην ἐργαζομένους ταῖς

---

4 cod. ἐνύπνοις. 6 cod. εἶχεν. 10 in marg. θαῦμα γ'. κάθισμα. 11 αἱμόρρουν] Matth. ix, 20-26 || cod. ἀφῇ. 13 cod. βραχεῖα κ. ῥοπή. 14 cod. ἔστι. 16 cod. ἄλλος || cod. τὶ. 18 cod. ἠκούσης. 19 cod. ὁρμῇ. 21 cod. προνοῖα. 25 in marg. θαῦμα δ' || cod.τὶς || cod. ἱστουργίας. 27 cod. ἴδεν.

οἰμωγαῖς, ὡς οὖν εἶδεν ταῦτα καὶ πάσης ἐπικουρίας ἀνθρωπίνης τὸ πάθος ἐπικρατέστερον, ἐπὶ θεὸν καὶ τὸν αὐτοῦ καταφεύγει θεῖον θεράποντα Ἀντώνιον, καὶ τοῦ τὸ φῶς κατὰ τὴν σορὸν ὑποτρέφοντος ἐλαίου ἀλειψάμενος—πιστὸς γὰρ ὢν εἶχε βραχύ τι λαβὼν παρ' ἑαυτῷ—παρευθὺ φυγαδεύει τὸ πάθος καὶ καρποῦται τὴν ἴασιν, καὶ παρὰ πᾶσαν ἐλπίδα παρίσταται τῇ σορῷ ἀνθομολογούμενος καὶ τὴν εὐεργεσίαν κηρύττων λαμπρᾷ τῇ φωνῇ.

15. Τῆς δὲ θήκης τοῦ ἀρχιερέως τῇ μετὰ τὴν ὁσίαν ὀγδόῃ, ἐπείπερ μὴ καλῶς ἔχειν ἐδόκει, μετασκευαζομένης ἐπὶ τὸ σεμνότερον, μύρου τις εὐωδία τοῦ πανιέρου σκήνους, ξένη καὶ διαλλάττουσα, τῶν παρόντων ἐπλήρου τὴν αἴσθησιν, ἀφθέγκτως τιμῶσα τὸν κείμενον καὶ τὴν πρὸς θεὸν οἰκείωσιν ἀναγράφουσα. Χριστὸν γὰρ τῷ φθαρτῷ τούτῳ μεγαλύνας σαρκίῳ καὶ μυστική τις αὐτῷ εὐωδία δειχθείς, ὡς τοῖς ἀποστολικοῖς λογίοις προδιαγράφεται, εἰκότως μυριπνόου κατηξίωται καὶ χάριτος, τὴν ἀθάνατον τῆς ἀρετῆς ἀνακηρυττούσης ἐνέργειαν.

16. Ἡ δ' ἐνάτη καὶ φιλοτιμότερον εἰς εὐεργεσίαν τῶν ἐξ ἔθους αὐτῷ τρεφομένων πενήτων θαῦμα παρείχετο, μᾶλλον δὲ θεὸς δι' αὐτοῦ, ὁ καὶ διὰ Μωσέως ὀμβρίσας ἐν ἐρήμῳ τροφὴν παράδοξον καὶ τὰ τῆς Σαραφθίας χήρας ἐπιστασίᾳ προφήτου μικρὰ τῆς ζωῆς πλειστηριάσας ἐφόδια, ἄρτοις δὲ πέντε πεντακισχιλίους καὶ ἑπτὰ πάλιν τετρακισχιλίους θρέψας καὶ μάρτυρας ἀψευδεῖς τὰ τοῦ κόρου τοῦ περισσεύματος ἀρθέντα φορτία παρασχόμενος· τὸ δὲ θαῦμα προσθήκη κἀνταῦθα τῶν τοῖς πένησι διανεμομένων σιτίων ἐστίν. τὰ δὲ ἦν ἄρα ἄρτοι καὶ σῖτος ἐφθός, οὐκ ἀόριστόν τι χρῆμα, ἀλλ' ὅσον συνήθως ὡρισμένῳ μέτρῳ χιλίαις ψυχαῖς διανεμόμενον ἐπαρκεῖν. οὐ μὴν ἀλλὰ καὶ πάντα τὰ ἐξ ἔθους μέτρα τὰ αὐτά, οἱ δεξάμενοι κόφινοι, αἱ αὐταὶ τῶν διακονουμένων χεῖρες. καὶ ὁ μὲν ἀριθμὸς τῶν ἐπὶ χεῖρας φερόντων τὰς σφραγῖδας (ταύταις γὰρ προδιανεμομέναις τὸ τῶν χιλίων ἠριθμεῖτο πλῆθος) δε-

---

1 cod. εἴδεν. 6 cod. παραπᾶσαν. 8 in marg. θαῦμα ε'. 10 cod. τίς. 14 Cor. 2, II, 15. 17 in marg. θαῦμα ς'. 18 cod. ἐξέθους hic et infra. 19 cod. διαμωσέως || Exod. XVI, 10-18. 20 cod. ἀραφθίας || Reg. 3, XVII, 9-16. Luc. IV, 25, 26. 21/23 Matth. XIV, 19-21. XV, 36-38. 24 cod. κἄνταῦθα. 25 cod. ἆρα. 29 cod. ἐπιχεῖρας.

*

δαπάνηται, σιτίων δὲ πλήρεις τρεῖς ὑπολείπονται κόφινοι, τοῖς ἐκτὸς παραβαλοῦσιν σφραγίδων πένησιν ἐπαρκέσαντες.

17. Οἷον δὲ θαῦμα, ὅπερ καὶ εἰς Λέοντα τετέλεσται τὸν πατρίκιον, τὸν τῶν στρατιωτικῶν καταλόγων τὴν ἐφορείαν διέποντα, λελέχθω παρ' ἡμῶν. ἔπασχεν ὁ ἀνὴρ δυσπνοῶν, τῶν ὀργάνων τοῖς ἐπιρρεύσασιν ἀποφραγέντων χυμοῖς καὶ τοῦ ἄσθματος τὴν πάροδον μὴ ἔχοντος ἐλευθέριον. οἷς οὕτω δεινῶς πολιορκουμένῳ, ἀμυδρόν τε φωνοῦντι καὶ ἀσθενές, παρῆσαν μὲν οἱ προσήκοντες τὰ μάλιστα ὀλολύζοντες (πλέον γὰρ στροβεῖ τοὺς ἐνδόξους ἡ τελευτή), οὐκ ἦν δ' αὐτῷ λύσις τῆς ἀρρωστίας ποθέν, ὅτι μὴ πρὸς μόνου τοῦ θείου ποιμένος· ἐφίσταται γὰρ ὑπνουμένῳ καὶ διεγείρας τοῦ σκίμποδος, ὅπως ἔχοι τὸ πάθος ἐπύθετο. ὃς κεφαλήν τε καὶ τὸ νοσοῦν ἐπαφώμενος μέλος, οὐ παιανικὸν ἄκος, οὐδὲ τὰ Χείρωνος φάρμακα χεροῖν ἐπιπάσσει (οὐδὲ γὰρ οὐδὲ τοῖς ἄλλοις ἐκ τῶν τοιῶνδε ἡ θεραπεία), ἀλλ' εὐχὴν παραθεὶς τῷ πάθει τὴν πρόσφορον καὶ τὸν ἀνυπέρβλητον τῶν παθῶν ἡμῶν ἰατῆρα Χριστὸν ἐπικαλεσάμενος, ὁ μὲν ἀπαλλάττεται τῆς δριμείας καὶ χαλεπῆς νόσου, ὁ δὲ τὸ τῆς εὐχῆς πέρας εἶχεν ἐπαληθεῦον· ῥάων γὰρ αὐτίκα γέγονεν, ἀνεμποδίστως τὸ θαῦμα διατρανῶν καὶ πανοικὶ τὴν ἰδίαν σωτηρίαν πανηγυρίζων.

18. Ταῦτα τοῦ ἀρχιερέως τὰ μετὰ κοίμησιν ἔργα. ἃ δέ μοι παρέδραμεν ὑπὸ τοῦ λόγου ἐν τῇ νεαζούσῃ αὐτοῦ ἡλικίᾳ γεγονότα θαυμαστὰ ἐπαναλαβὼν διηγήσομαι. πάλαι νεάζων τῷ χρόνῳ καὶ τὴν Δαυιτικὴν κινύραν ἀνακρουόμενος ἐν τῷ τεμένει Θεοδώρου τοῦ μάρτυρος, καθύπερθεν πολυανδρίου τινὸς ἱδρυμένῳ, ἐφ' ᾧ τῶν ὑποδίκων σώματα κατερριπτοῦντο νεκρά, δύο τινὰς κατεῖδεν δυσειδεῖς τὴν ὄψιν (φιλοῦσι γὰρ τοῦθ', ὅπερ εἰσίν, ὡς τὰ πολλά, φαίνεσθαι), καθ' αὐτοὺς πρὸς ὀργὴν φάσκοντας· "Ἀπίωμεν τῶν ἐντεῦθεν· τοῦ γὰρ νέου παρόντος οὐχ ὑποίσομεν ἐνταυθοῖ καρτερεῖν". οἵ γε παραχρῆμα δραπετεύοντες ἠφαντοῦντο τῷ ῥήματι. τοῦτο τὴν κατ' αὐτῶν τῷ

1 cod. πλήρης. 3 in margine θαῦμα ζ'. 6 cod. χῦμοῖς. 8 cod. προσῆκοντες. 11 cod. ὑπνουμένω. 13 cod. ἐπαφώμελος. 21 cod. μετακοίμησιν. 23 in marg. θαῦμα η'. 25 cod. ἱδρυμένω. 27 cod. ὅπέρ εἴσιν. 29 cod. παρὰ χρῆμα.

ἁγίῳ προδεδωρημένην παρίστησιν ἐξουσίαν. δεύτερον δὲ τοῦτο καὶ τῷ προτέρῳ ὁμόχρονον συγγεγράφθω.

19. Γύναιον τῶν ἐπιφανῶν ἐφ' ἵππου μετὰ τῶν τῆς γυναικωνίτιδος καλλωπισμῶν διὰ τῆς μονῆς παριὸν εἰς γῆν μικροῦ δεῖν ἠνέχθη κατεαγός. τοῦ γὰρ θεσπεσίου τότε Ἀντωνίου ἐν νεανίαις τελοῦντος καὶ τῆς πύλης ἀπροόπτως ἐξωρμηκότος, σεσοβῆσθαι συμβέβηκεν ἐξαπιναίως τὸ ὄχημα καὶ κάτω ταύτην ἄνωθεν ἂν ἀπεώσατο, εἰ μὴ οἱ συμπορευόμενοι διεσώσαντο. ἡ δὲ τῷ συνενεχθέντι τεθροημένη τὸ τοῦ σχήματος διεκωμῴδει σεμνόν, οἷα πολλάκις τὸ μικρόψυχον ἐν τοῖς τοιούτοις φιλεῖ· πρὸς ἣν ὁ καὶ ἐν τῇ νεότητι τέλειος "Γύναι, μὴ δυσφήμει", φησί· "ταῖς ἐμαῖς γὰρ χερσὶν εἰς τοῦτό γε ἥξεις τὸ σχῆμα". ἔφη ταῦτα ὁ ὅσιος καὶ χρόνων διῳχηκότων συχνῶν ἧκεν εἰς ἔργον ἡ πρόρρησις, εἰς λήθην μὲν τούτων τοῦ πανολβίου ἐληλακότος, ~~ὑπὸ~~ τοῦ γυναίου δὲ προσειληφότος τὴν μνήμην καὶ τὸν εἶναι τὸν αὐτῇ ταῦτα τότε παρηγγελκότα, διασαφήσαντος.

20. Τοιαῦτα ὁ τῶν ἁγίων θεός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὁ ἀνοίγων τὴν χεῖρα καὶ ἐμπιμπλῶν πᾶν ζῷον εὐδοκίας, ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν καὶ θαυμαστὸς ὑπάρχων ἐν τοῖς ἁγίοις αὐτοῦ. ἀλλ' ἐπεὶ τῇ βραχείᾳ τοῦ λόγου κύλικι καθάπερ ἐκ πελάγους μεγάλου τοῦ θαυμαστοῦ Ἀντωνίου καὶ μεγάλου ἐν πατριάρχαις βίου μικρὸν ἀπηντλήσαμεν, φέρε τῇ πρὸς τοὺς διδασκάλους παραθέσει τὸν μαθητὴν καταμάθωμεν. Ἀδὰμ ὡς τοῦ γένους ἀρχὴ καὶ ῥίζα θαυμάζεται· ἀλλὰ καὶ οὗτος πολλῶν ἀρχηγός, οὐ σωματικῇ συναφείᾳ τεχθέντων, πνευματικῇ δὲ πολυπλασιασθέντων· οὐ καταδίκης πατρῴας κληρωσαμένων ἐπιτίμιον, κλῆρον δὲ μᾶλλον χαρισμάτων, ζωὴν ἀίδιον προξενούντων, οὐ θάνατον, δι' ἧς τῆς πατρικῆς τὸ γνήσιον συγγενείας χαρακτηρίζεται. καὶ ὑπέκυπτε μὲν τῶν θηρίων ἡ φύσις ἐκείνῳ, πλὴν οὐ τῶν ἐντὸς καὶ συνοίκων,

3 in marg. θαῦμα θ'. 6 cod. σεσοβεῖσθαι. 9 cod. τῶ || cod. οἷα. 11 cod. γῦναι. 13 cod. ἧκεν. 15 cod. πρὸσείληφότος. 18/19 διδοὺς - εὐδοκίας] Psalm. CXLIV, 15, 16. 19 δοξάζων τοὺς δοξάζοντας] Reg. 1, II, 30. 20 θαυμαστὸς - αὐτοῦ] Psalm. LXVII, 35. 21 cod. κύλκι. 23 cod. φέρει. 24 cod. κατὰ μάθωμεν. 26 cod. κατὰ δίκης.

ἔνθεν ὄφις καὶ φθόνος καὶ δόλος τὸν θάνατον ἐτεκτήνατο· ὁ δὲ τῇ αὐτοκρατορίᾳ τοῦ λόγου πᾶν τὸ ἀγριαῖνον ἐπιπειθὲς ἐργασάμενος οὐδὲν πρὸς ἀπάτην τῶν ἐχθρῶν καταλέλοιπεν ἐπιτήδειον ὄργανον. Ἄβελ, πρῶτος θυσιῶν εὐπροσδέκτων ἐργάτης, πλὴν ἐναίμων καὶ τῆς ἀλόγου μοίρας· ὁ δὲ τῆς ἀναιμάκτου θύτης θυσίας, ἧς ἐκεῖναι τύπος καὶ σκιά, λόγῳ καλλιερουμένης καὶ πνεύματι, καὶ θύων ἑαυτὸν καθ' ἑκάστην τῇ τῶν ἀλόγων παθῶν νεκρώσει ἀνώτερος καὶ τοῦ φθόνου καὶ τῶν ἐκγόνων τούτου, δόλου καὶ φόνου, κατέστη καὶ πάσης τῆς παρομοίας σειρᾶς. μέγας ὁ Σήθ, ἀλλὰ τοὺς ἀπογόνους ἔσχεν τῇ τῆς ἀδελφοκτόνου συγγενείας ἐπιμιξίᾳ, ὄγκῳ σωμάτων τὸν ὄγκον τοῦ παραπτώματος ὑπογράφοντας· ὁ δὲ τὴν μὲν ἀρετὴν ἐκείνου παρήλασεν, τῆς δὲ κακίας χρησταῖς εἰσηγήσεσι τοὺς ἐξ αὐτοῦ πνευματικῶς ὠδινηθέντας μετασχεῖν σχεδὸν οὐ δέδωκε πάροδον. Ἐνὼχ καὶ Νῶε, ὁ μὲν τῇ μεταθέσει μακαρίζεται, ὁ δὲ τῇ παντὸς γένους ζῴων ἐν τῷ κατακλυσμῷ σωτηρίᾳ· τὸ δὲ ἡμέτερον κἀνταῦθα τῶν παραδειγμάτων οὐκ ἐλαττούμενον τῷ τρόπῳ τὸ ὑπερκείμενον ἀποφέρεται· ἥ τε μετάθεσις οὐκ ἐλπίδι θανάτου περικοπτόμενον ἔχει τὸ εὐφρόσυνον, ἀλλὰ ζωῆς ἀιδίου διαδοχῇ δρέπεται τὴν ἡδονὴν καθαρὰν καὶ σῴζει οὐ λάρνακα ξυλίνην, ζῴων ἀλόγων πλήρη, ἀλλ' ἐκκλησίαν, ἧς εἰκόνες ἐκεῖνα, παντὸς γένους λογικῶν καὶ πάσης ἡλικίας εὐθηνουμένην καὶ πλήθουσαν. μετὰ Ἀβραὰμ τῇ κλήσει τοῦ καλοῦντος τῆς πατρικῆς ἑστίας μετανάστης γενόμενος μέχρι θανάτου ἐφάνη ὑπήκοος· πλὴν ὁ μέν, πλάνην φυγὼν δεισιδαίμονα, ἣν φυγεῖν καὶ φύσις αὐτὴ διδάσκαλος καὶ γνώμη μὴ παντελῶς τῇ τοῦ χείρονος ἐπικρατείᾳ τὸ κριτικὸν παραφθείρασα, σκότους φῶς καὶ θανάτου ἠλλάξατο καὶ ἀσεβείας εὐσέβειαν, αἱρετὰ πάσῃ λογικῇ φύσει πράγματα καθ' αὑτά· ὁ δὲ τῷ τῆς εὐσεβείας ἐξ ἔτι παιδὸς γάλακτι τραφεὶς καὶ τοῖς αἱρετοῖς ζῶν, οὐδὲ γὰρ οὐδ' ὅλως τινὸς οὔμενουν οὐδ' ἴχνος παραδεξάμενος τῶν φευκτῶν, τελειοτέρᾳ κρίσει

1 cod. ἐτεκτείνατο. 4/5 Gen. IV, 4. 6 cod. ἐκεῖνα || cod. σκιᾶ || τύπος καὶ σκιὰ] Hebr. VIII, 5. Col. II, 17 || cod. καλλιερουμένων. 7 cod. καθεκάστην. 10 Σὴθ] Gen. IV, 25, 26. 11 cod. ὑπὸγράφοντας. 15 μεταθέσει] Gen. V, 24. 17 cod. ἥτε. 19 cod. διαδοχή. 20 λάρνακα ξυλίνην=κιβωτὸν] Gen. VIII, 1-19. 25 cod αὐτῇ. 26 cod. παρὰ φθείρασα. 28 cod. καθαυτά || cod. ἐξέτι.

τὴν εὐσεβεστέραν ἐζήτει καὶ αἱρετωτέραν κατάστασιν, ζωῆς ζωὴν καὶ φωτὸς φῶς καὶ αἱρετῶν ἁπλῶς ἀλλασσόμενος αἱρετώτερα. ὅσῳ δὲ τῶν αἱρετωτέρων πρὸς τὰ αἱρετὰ τὸ διάφορον, τοσοῦτον ἄρα καὶ τῶν αἱρουμένων πάντως τὸ μέσον συναποδείκνυται. ἀλλ' ὁ μὲν Ἀβραὰμ τοὺς τῇ Μαμβρῇ ξενοδοχῶν παροδεύοντας ἅπαξ ἔλαθεν ξενίσας ἀγγέλους, ὁ δὲ τοὺς τῆς οἰκουμένης διὰ παντὸς δεξιούμενος πένητας ἐξενάγει Χριστὸν διὰ βίου, ἀφάτῳ φιλανθρωπίᾳ τὰ ἐκείνων οἰκειούμενον· δι' ὧν οὐκ ἀγγέλων προσχήματι, ἀλλ' ἀληθείᾳ πραγμάτων τὴν παντουργὸν τῇ ψυχῇ τριάδα εἰσοικισάμενος, οὐχ ἑνὸς ἔσχεν ἐπαγγελίαν υἱοῦ, σαρκικῇ παρ' ἐλπίδας τεχθησομένου συναφείᾳ, πολλῶν δὲ μᾶλλον τῇ τῆς πρακτικῆς συζυγίᾳ φιλοσοφίας υἱῶν ἐν πνεύματι κληθῆναι πατὴρ καὶ τὴν ἐπαγγελίαν ἔσχε καὶ ὑπὲρ ἐλπίδας εἶδεν τὸν πληθυσμὸν τῆς ἐπαγγελίας ἐπάξιον, οὐ τριακοσίων οἰκογενῶν ἐπιδρομῇ πολλῶν βασιλέων συγκόψας ἔφοδον, ἀλλὰ τῇ ἀρρενωπῷ τοῦ τῆς ψυχῆς τριμεροῦς ὁρμῇ πᾶσαν καταστρεψάμενος παράταξιν ἐπιτιθεμένων καὶ τὸ συγγενὲς αἰχμαλωτιζόντων τυραννικῶς διὰ τῆς ἡδυπαθείας, ὡς ἐν ἐπιπλάστῳ βασιλείας προσχήματι. τῷ Ἰσαὰκ συνανῆλθε, τῷ οὐρανίῳ κελεύοντι πατρὶ κατακολουθῶν, οὐκ ἐπὶ γεωλόφου τινός, ἀλλ' ἐπ' ὄρους τῶν ἀρετῶν, τοῖς τῆς ἐγκρατείας πεφορτισμένος ξύλοις, δι' ὧν ἐπὶ τοῦ τῆς καρδίας βωμοῦ τὸ τῆς πρὸς θεὸν ἐφέσεως ἀνάπτων πῦρ θῦμα παρέσχεν δεκτὸν ἑαυτόν.

21. Πρὸς δὲ τὸν Ἰακὼβ πολλὴν εὑρίσκω τὴν μίμησιν, οὐκ ἐν τῷ ἀπλάστῳ μόνον τῶν τρόπων τῷ ποικίλως ἐμπολιτεύεσθαι, ἀλλὰ καὶ τῷ τῆς πατρικῆς ἑστίας ἀποστῆναι καὶ τὴν ἐπὶ ξένης ἑλέσθαι διατριβήν, πλὴν οὐκ ἐπὶ συνοικήσει γυναικῶν ἀδελφῶν, ἀλλ' αἱρετῶν ἀδελφῶν ἐφέσει, θεωρίας καὶ πράξεως, ὡς ἂν τῇ πράξει μετάσχοι τῆς θεωρίας, πρὸς μίαν πηγήν, τὸ πρῶτον ἀγαθόν, ἀναφερομένας ἢ ἀναγούσας· δι' ὧν τῷ πληθυσμῷ τῶν ἐπισήμων, οὐ θρεμμάτων ἀλόγων, μᾶλλον δὲ λογικῶν, τὸ ἐν πατριάρχαις ἐπίσημον ἀπηνέγ-

---

1 cod. αἱρετοτέραν. 2 cod. αἱρετότερα. 3 cod. αἱρετοτέρων || cod τὸσοῦτον ἆρα. 5/6 Gen. xviii, 1-8. 7 cod. διαβίου. 9 cod. εἰσοἰκησάμενος. 10 cod. παρελπίδας. 13 cod. ἴδεν. 14 τριακ. οἰκογενῶν] Gen. xiv, 14, 15. 18/22 cfr. Gen. xxii, 1-14. 19 cod. γεὼ λόφου. 23/26 Gen. xxv, 27. xxviii, 1-7. 25 cod. ἐπιξένης ἑλέσθαι. 27 cod. ἀφέσει.

κατο. Ἀαρὼν πρῶτος ἀρχιερεύς, ἀλλὰ τῆς τυπικῆς σκηνῆς καὶ σκιώδους· ὁ δὲ τῆς ἀληθινῆς καὶ ἧς ἐκείνη τύπος. μετὰ Μωσέως τὸν νέον ἐδημαγώγησεν Ἰσραήλ, μετὰ Σαμουὴλ ἐκ βρέφους ἱερὸς καὶ μέχρι γήρως θεῷ λειτουργῶν τὸ τοῦ Δαυὶδ ἐμιμήσατο πρᾶον, εἰ βούλει, καὶ τὸ ἀνδρεῖον, οὐ κατὰ Γολιὰθ ἀνθρώπου τινὸς μεγέθει σώματος μέγα φρονοῦντος ἀριστεύσας καλῶς, ἀλλὰ κατὰ τοῦ νοητοῦ Γολιάθ, τοῦ πονηροῦ καὶ ἀσάρκου δαίμονος, ἐγκρατείας ῥάβδῳ καὶ πίστεως σφενδόνῃ ἐξελθὼν καὶ λαμπρὸν στησάμενος τρόπαιον. Ἠλίας τὰς τῆς Ἰεζάβελ διέφυγεν ἐπιβουλάς, ὁ δὲ τὰς τῆς ἀναιδοῦς ἁμαρτίας. σὺν τῷ Ἐλισσαίῳ διπλῆν εἶχε τὴν τοῦ πνεύματος χάριν, ἀσκητικοῖς καὶ ἱερατικοῖς κεκοσμημένος χαρίσμασιν. καὶ ἵνα τοὺς ἐν μέσῳ διὰ τὸ πλῆθος παρήσωμεν, τὸν ἐρημικὸν οὐκ ἔχων Ἰωάννου βίον, ἐν μέσῃ πόλει τὸ φιλόσοφον ἐμιμήσατο. καὶ οὗτος σχέδιον, ὅσον τὸ ἐπ' αὐτόν, εἶχε τράπεζαν. καὶ οὗτος ἐσθῆτι τὸ σῶμα τριχίνῃ περιεκάλυπτεν καὶ καθάπερ τινὶ δερματίνῃ ζώνῃ τῇ τῶν παθῶν νεκρώσει συνέσφιγγε τὴν ὀσφύν, καὶ συνέρρει πρὸς αὐτὸν οὐ μία πόλις, οὐδὲ ἓν ἔθνος, ἀλλ' ὄχλοι παμπληθεῖς τῆς πολυανθρώπου πόλεως, ἐθνῶν καὶ πόλεων συνειλεγμένοι παντοδαπῶν, Ἑῷοί τε καὶ Ἑσπέριοι, οὐχ ὕδατι βαπτισθησόμενοι, ἀλλὰ πνευματικῇ καθαρθησόμενοι τελετῇ, θείοις ὀργίοις τοῖς ἐκείνου τελουμένῃ καὶ χειρὸς καὶ γλώσσης, καὶ τελούσῃ τοὺς ἀξιουμένους τῇ κοινωνίᾳ τῆς θεοποιοῦ μετοχῆς. ταῖς δὲ τῶν ἀποστόλων ἑπόμενος διδασκαλίαις καὶ παραδόσεσι, καὶ τούτοις τὸν ἑαυτοῦ βίον ῥυθμίζων ἀεί, τὸ τῆς μαρτυρίας ἔργοις ἐβεβαίωσε γνήσιον ἐν τῷ τῶν μαρτύρων ὑπὲρ εὐσεβείας ἔχειν ζῆλον καὶ θνήσκειν καθ' ἑκάστην τῇ συνειδήσει τῇ τῶν ἀσκητικῶν πόνων χρονίᾳ βασάνῳ τε καὶ δριμύτητι· ὃ τῆς μαρτυρικῆς ἀνδραγαθίας οὐδὲν ἀτιμότερον.

22. Πάντων τοίνυν ὁσίων τε καὶ δικαίων, τῶν μὲν τὸν τρόπον, τῶν δὲ τὸν δρόμον, τῶν δὲ τὴν πρᾶξιν, ὁμοῦ δὲ πάντων

---

5 cod. καταγολιάθ. 9 Reg. 3, XIX, 2, 3 || cod. ἡλίας || cod. ἰεζάβελ. 10/11 Reg. 4, II, 9. 11 cod. ἱερατικοὶς. 13 Ἰωάννου] Matth. III, 1-4. 15 cod. τρυχίνω. 16 cod. ὀσφῦν. 21 τελούσης cod. 26 cod. καθεκάστην τῆ συνηδείσει.

τὴν πρὸς τὸ πρῶτον ἀγαθὸν ἀνένδοτον μιμησάμενος ἔφεσιν, οὗ νῦν τρανότερον ἀπολαύων ἐποπτεύοις καὶ περιέποις, ὦ θεία καὶ ἱερὰ κεφαλή, τὴν ἱερὰν ποίμνην καὶ τὰ εὐσεβείας σαῖς λιταῖς κρατύνοις σκῆπτρα, καὶ χεῖρα παρέχοις τῷ εὐσεβεῖ κράτει, τῶν κοσμικῶν αὐτῷ κοινωνῶν φροντίδων, καὶ πρεσβεύοις θεῷ παριστάμενος ἀδιαλείπτως, ὑπὲρ οὗ προσηύχου συνὼν αὐτῷ καὶ τῷ βίῳ τούτῳ παρών, καὶ συνδιασῴζοις αὐτῷ τὴν κοσμικὴν ὁλκάδα ἐπ' ἀκλύστῳ τῆς θείας γαλήνης λιμένι, πᾶσαν κατευνάζων σπιλάδα καταιγίδος πονηρευομένων καὶ βυθίζων ὁρατῶν ἐχθρῶν καὶ ἀοράτων ἐφόδους ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 cod. τρανώτερον. 3 cod. θεῖα καὶ ἱερᾶ. 7 cod. συνδιασώζοις - - ὀλκάδα.

## II.

## ΑΡΕΘΑ

ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας

### ΕΠΙΤΑΦΙΟΣ ΕΙΣ ΕΥΘΥΜΙΟΝ

τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως.

---

1. Τί τοῦτο, σύνταγμα ἱερόν, κλῆρος ἡγιασμένος, δῆμος ἔνθεος; τίς ἡ κοινὴ ὑμῶν συνδρομὴ καὶ παρὰ τὸ εἰκὸς αὕτη πανήγυρις, οὐδὲν μὲν χαρμόσυνον ἐπιφαίνουσα, οὐδ' ὅσα τῶν εἰωθότων σεμνύνειν πανήγυριν, ἀλλ' εἴ τι στυγνόν τε καὶ κατηφές, εἴ τι θρηνῶδες καὶ γοερόν, εἴ τι τῶν ἐν μεγίσταις συμφοραῖς ἐπιφυομένων ἀνθρώποις τὸ χαλεπόν τε καὶ σχέτλιον ἐπιδείκνυται, ταῦτα τῷ εὐαγεῖ τούτῳ ἀθροίσματι δαψιλῶς ἐξυφαίνουσα, ὡς μονῳδίαν ἐοικέναι ἀπολοφύρασθαι; τίς οὖν ἡ τοσαύτη πληγή; τί τὸ κατειληφὸς οὕτως ἐξαίσιον ἄλγος ὑμᾶς, ὡς μηδ' ἂν ἀνανεῦσαι ὅλως ἐᾶν, μηδὲ τοὺς ὀφθαλμοὺς φέρειν ἁπλοῦς, τῆς ἀπὸ τῶν δακρύων ἀπηλλαγμένους στυγνότητος; Εὐθύμιος ὁ τοῦ θεοῦ μέγας ἀρχιερεὺς τὸν θρῆνον ὑμῖν ἐνεστήσατο τοῦτον, οὐ προσηκόντως καθυβρισμένος, τοῦ θρόνου ἀπελαθείς, ὑπερορίᾳ χειρὶ παλαμναίᾳ κατακριθείς, θανάτῳ τανῦν ὑπαχθείς, τῷ ὁρωμένῳ τάφῳ παραδοθείς. καὶ τί τούτων εἰς θρῆνον τοσοῦτον, μᾶλλον δὲ τί τούτων οὐ τῆς τελεωτάτης χαρᾶς τε καὶ θυμηδίας καὶ ὧν ὁ ἀπ' αἰῶνος ἅπας θεῷ ἀνακείμενος ἄνθρωπος καλλωπίζεται; "μνήμη δικαίου μετ

---

1 Codex Mosquensis 302, fol. 54-57. 21 Prov. x, 7.

ἐγκωμίων”· ἐγκώμιον δὲ ἐξομολογήσει καὶ αἴνῳ φαιδρύνεσθαι, ἀλλ' οὐχὶ θρήνῳ καὶ κωκυτῷ, ὃ νῦν ὑμεῖς ποιεῖτε, συμφύρεσθαι πέφυκεν. οὐκ ἔστι ταῦτα τῶν σωφρονεῖν βουλομένων· ἀλλότρια τῆς ἡμετέρας ἀγέλης τὰ δρώμενα. ἀνέστη πρὸς τὸ ποθούμενον ὁ καλὸς ἐραστής, ἐξεδήμησε πρὸς τὸν ἀγωνοθέτην ὁ σταδιεύς, ἀπῆλθε πρὸς τὸν βραβέα ὁ παγκρατιαστής, ἔτι ῥεόμενος τοῖς τῆς ἀγωνίας ἱδρῶσιν, ἔτι τῷ πόνῳ τοῦ σκάμματος πυκνῶς ἐνασθμαίνων καὶ συγκοπτόμενος. ἐδράξατο τῆς ἐκεῖθεν ἀνέσεως, μετέσχε τῆς ἀπραγματεύτου ζωῆς. τὰ κάλλη τῶν οἷς ἐνηγώνισται κατοπτεύει, λοιπὸν τὰ γέρα παντοκράτορι κομίζεται δεξιᾷ, ἐντρυφᾶν ἤδη τῆς ἐκεῖσε ἐνῆρκται μακαριότητος. ἀνθ' ὧν ἔδει σκιρτᾶν καὶ εὐφραίνεσθαι, ὅτι τῶν ἐν οὐρανοῖς ἐπαπολαύει μισθῶν, ὅτι τῷ τῶν δακρύων αὐτοῦ σπόρῳ, ὃν κλαίων ἐπὶ τῆς γῆς κατεβάλετο, νῦν ἐνηδόμενος τὰ δράγματα τούτου συγκομίζει καὶ ἐπαγάλλεται. σὺ δὲ θρήνων ποιῇ ἀφορμάς, ἃ τῆς παντελοῦς εὐφροσύνης παραίτια. οὐ τῷ θεῷ ταῦτα εὐάρεστα, οὐ τῷ κειμένῳ ἁρμόδια. εἰ γὰρ καὶ “ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι”, ᾗ φησιν ὁ ἱεροφάντης, “καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτοῦ καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα”, ἀλλ' οὖν ἐστι νῦν “ἐν εἰρήνῃ, ὅτι ὁ θεός”, τὰ ἐχόμενα τοῦ λόγου ἀναλαβεῖν, “ἐπείρασεν αὐτὸν καὶ εὗρεν αὐτὸν ἄξιον ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτὸν καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτόν”. ταύτῃ τοι “καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτοῦ ἀναλάμψει”, ἡνίκα πάντες οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, τῷ καθαρῷ καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ συναπτόμενος, σκότος δὲ καὶ ζόφος τοῖς τῆς ἀριστερᾶς περιχεθείη μερίδος καὶ “στήσεται δίκαιος κατέναντι τῶν θλιψάντων αὐτόν”, εἴ τι τῷ θεηγόρῳ πειστέον προφήτῃ, τὰ τῆς ἀποκειμένης ἐκδικήσεως ὑπογράφοντι.

2. Ἀλλὰ τί τούτων ἄξιον θρήνων; τί τῆς ἐπεχούσης κατηφείας παραίτιον; τί σκυθρωπότητος πρόξενον; τί δὲ τῶν οὐ προσηκόντων τῇ παναγίᾳ τοῦ κειμένου ψυχῇ καὶ ᾗ ὁ ἐπαινετὸς χαρακτὴρ τῷ ἀπὸ γενεᾶς αὐτοῦ βίῳ μετέπρεπε; Σελεύκεια μὲν

---

1 ἐξομολ. καὶ αἴνῳ] Sir. LI, 11, 12. 17 Sapient. III, 2,3. 19/23 Sap. III, 3-7. 23 Sir. L, 7 «ὡς ἥλιος ἐκλάμπων». Epist. Ierem. 66 «ὡς ὁ ἥλιος λάμψουσιν». 25/26 Sap. V, 1.

γὰρ αὐτὸν τιθηνεῖται, εἰς Γρηγορίου τοῦ θείου τὸ γένος ἀνάπτουσα, ὃν ἄλλον θαυματουργὸν ἡ μικρῷ πρὸ ἡμῶν ηὐμοίρησε γενεά, τῆς τῶν Ἰσαύρων καὶ τοῦτον ὁρμώμενον Δεκαπόλεως, καὶ τὸ "γενεὰ εὐθέων εὐλογηθήσεται" ἔργῳ κυροῦσά τε καὶ κρατύνουσα. ὑπέλαβε δὲ τὰ πρῶτα μὲν ὁ Βιθυνὸς Ὄλυμπος, τῆς κατὰ θεὸν φιλοσοφίας τὸ κάλλιστον ἐνδιαίτημα, μεθ' ὃν τὸ πρὸς τῷ Ἀστακηνῷ ἱερὸν φροντιστήριον κόλπῳ, ἀγῶσι κἀνταῦθα τοῖς ἐξ ἀρετῆς λαμπρυνόμενον. ἀλλ' ὅσα μὲν οὗτος κατὰ τοῦ ἀντιπάλου πάντων ἡμῶν ἵστησι τρόπαια καὶ ὅσοις νικητηρίοις ἀναδέδηται στεφάνοις, τοὺς κατὰ ψυχὴν ἄθλους ἐξανυόμενος, αὐτοῖς ἐκείνοις ἐκδιηγεῖσθαι παραχωρῶμεν, οἳ καὶ παρῆσαν τῷ ἡττήτῳ τούτῳ ἀνδρὶ καὶ τῇ αὐτοψίᾳ μάρτυρες ἀπαράγραπτοι, πείνης φημὶ καὶ δίψης τὴν καρτερίαν, γυμνότητος τὸ ὑπερβάλλον, ἐφ' ἱματίῳ ἑνὶ τὸν ἐνυπόστατον ἐκεῖνον κρυμὸν ὑφιστάμενος, ἀγητήρων τε καὶ μαυλιστήρων τὴν κατηναγκασμένην αἰώραν· οἷς τῶν ἑαυτοῦ βλεφάρων τὸν ὕπνον ἀπήλαυνε, μετὰ τοῦ θείου Δαυὶδ ἀνευρεῖν τὸ τοῦ θεοῦ ποθῶν σκήνωμα καὶ τόπον τοῦ καταπαῦσαι, οὗ μὴ σάλος βιωτικῶν περιστάσεων, μὴ κλύδων ψυχῶν τοῖς πονηροῖς πνεύμασι ταραττόμενος. ταῦτα μὲν οὖν ἐκείνοις παραχωροῦντες καὶ διηγεῖσθαι καὶ τῇ περὶ αὐτῶν μνήμῃ ἐναγλαΐζεσθαι, αὐτοὶ τὰ μετ' ἐκεῖνα προσθήσωμεν.

3. Εἶχεν ἐκ τούτων ἡ περιώνυμος αὕτη καὶ βασίλειος πόλις τὸν καλὸν τοῦτον καὶ περιβόητον ἀριστέα πιστῶν οἴκοις φιλοξενούμενον καὶ τούτοις ἀντιδιδόντα τῆς φιλοξενίας μισθόν, ὅνπερ λαμβάνειν εἰκὸς τοῖς ἄνδρα τοσοῦτον δεξιουμένοις καὶ θεραπεύουσιν, ἐπεὶ καὶ ἡ Σαραφθία γυνὴ οὐδὲν διημάρτανε τῆς τῷ Θεσβίτῃ χάριτος ὑπούσης, ἀλλ' ἀντελάμβανε διαρκεστέρας τοῦ βίου τὰς ἀφορμάς, τοῦτο τῆς τοῦ προφήτου ξενοδοχίας κερδαίνουσα. ἐφοίτα καὶ κατὰ πάντων ἡ ἀγαθὴ τούτου φήμη, ἐπεὶ μηδὲ οἷόν τε "πόλιν κρυβῆναι ἐπάνω ὄρους κειμένην", κατὰ τὴν τοῦ κυρίου φωνήν. τί τὸ ἐντεῦθεν; γνώριμος γίνεται βασιλεῖ, ἄγαται βασιλεὺς τὸ τῆς ἀρετῆς αὐτοῦ περιδέξιον, φίλον ποιεῖται αὐτοῦ καὶ σύσκηνον τῷ κατὰ καιρὸν πατριάρχῃ. μικρὸν τὸ ἐν μέσῳ καὶ τάραχος καὶ

3/4 Psalm. cxi, 2. 15/17 Psalm. cxxxi, 4, 5. 25 Σαραφθία γυνή] Reg. 3, xvii, 9-16. Luc. iv, 25, 26. 29 Matth. v, 14.

κλύδων τὴν ἐκκλησίαν διαλαβών, ὃν ἀλαζονεία τοῦ τηνικαῦτα κατάρχοντος ἐξεφύσησεν· εἶτα πρὸς τὸν τοιοῦτον σάλον ὁ τούτου δημιουργὸς ἐκκακήσας, καὶ δὴ βιβλίον ἀποστασίου τῆς ἱερᾶς αὐτοῦ τιμῆς τῇ τοῦ θεοῦ ἐπιδοὺς ἐκκλησίᾳ κακὸς κακῶς ᾤχετο, ἐρήμην ταύτην προστασίας καταλιπών. ἐζήτει τὸν προστησόμενον ὁ καιρός· εὑρίσκετο οὗτος λοιπόν. τί γὰρ ἂν τοῦ πᾶσι καταθυμίου αἱρετώτερον ἄλλο ἢ προτιμότερον; ἀφ' οὗ γε καὶ (ὃ μὴ πολλοῖς τῶν ἄλλων ἀπήντα) ψήφῳ τῆς κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἐκκλησίας ἐπὶ τὸν ἱερὸν ταύτης τῆς Κωνσταντίνου θρόνον ἀνάγεται. ὁρᾷς, ὁποῖος οὗτος καὶ ὅσος καὶ οἵων τυγχάνει τέως τῶν ἀντιδόσεων δι' ἀρετῶν εὐδοκίμησιν;

4. Ἀλλ' ὢ πῶς τὰ ἐφεξῆς μετελεύσομαι, τὸν φθόνον τῶν ἀπαισίων, τὸν φόνον τῶν παλαμναίων, τὴν ἀπηνῆ καὶ ἄδικον κρίσιν ὑπὸ κριταῖς (ὢ δίκη θεοῦ καὶ δικαιωτήρια ἀρρεπῆ), οἷς ἐμέλησε μὲν τῶν ἱερῶν οὐδενός, χρηματισμοῦ δὲ μόνον τὸ πᾶν, δι' ὃν αὐτοί τε τοῦ ὁλοκλήρου καὶ ὑγιοῦς τῆς ἐκκλησίας ἀποσχισθέντες οὐ κατενύγησαν καὶ τοῦ δι' ἐπιθυμίας αὐτοῖς καιροῦ δεδραγμένοι, οὐδ' ἂν εἴ τι καὶ τοιχωρυχεῖν, εἴ τι καὶ βαλαντιοτομεῖν ἐφεῖτο, εἴ τι καὶ ἀπηνέστερον προὔκειτο, ἠφείδησαν ἂν τὸ παράπαν, εἰς πλήρωσιν οἴκων ἀνομιῶν οἱ ἐσκοτισμένοι τῆς γῆς ἐπειγόμενοι. ἐντεῦθεν ἡ ἀνυπέρβλητος αὐτῶν λύσσα κατὰ τῶν τοῦ θεοῦ ἀρχιερέων, ὅτι μηδ' ἄλλο τούτοις μηδὲν ὧν ἐθρασύνοντο πρὸς δικαίωμα, καὶ ἡ παντὸς ἱεροῦ τάγματος ἀπεμπόλησις ἀνέδην καὶ ἀπαρακαλύπτως συντελουμένη. ἐντεῦθεν καὶ τούτῳ τῷ μακαρίῳ πρὸς οἷς ἄλλοις αὐτῷ ἐμπαροινοῦντες ἠσέλγησαν· οὐ γὰρ κινεῖν εὐπρεπὲς αὖθις καὶ χραίνειν τῇ τούτων ἀκαθαρσίᾳ τὴν γλῶσσαν, ἃ καὶ βάρβαρος ὀφθαλμὸς εἰς δέον μωμησάμενος ἀπεστύγησεν, ἐπεὶ καὶ παρῆσαν κατὰ πρεσβείαν Σαρακηνοὶ καὶ μετεῖχον τῆς ἐπέκεινα πάσης σκηνῆς τραγικῆς ἀτοπίας ὁμοίοις προσκαθημένοις ὅμοιοι θεαταί, ὅτι μηδὲ ὅσιον ἄλλως πιστῶν ταῦτα θεάτρου, οὐδ' ἐναγέσιν ἐξάγιστα θεᾶσθαι δραματουργούμενα.

5. Ἐπὶ τοιούτοις τοιγαροῦν πρωτολείοις καὶ τὰ ἐχόμενα ἐπη-

---

20 Psalm. LXXIII, 20.

κολούθει, ἡ ὑπερόριος καταδίκη, ἡ παρὰ πάντων τῶν γνωστῶν τοῖς ἐπικρεμαμένοις ἐγκατάλειψις φόνοις, τῶν [μὲν] ἀπεναντίας τὸν ὠθούμενον βλέπειν ἠναγκασμένων, τῶν δὲ καὶ πόρρω κεχωρισμένων, ἤτοι τῇ παρακαθημένῃ στρατιωτικῇ ὠμότητι καὶ κουστωδίᾳ ἀπειργομένων, ἢ καὶ τῇ ἐμφύτῳ τῶν πολλῶν ὀλιγωρίᾳ τῷ παραλογισμῷ μετὰ τὴν χρείαν ἀχρειουμένων καὶ τοῖς ἐκ διαμέτρου δεξιουμένων τὸν προτοῦ περισπούδαστον· φιλεῖ γὰρ ἀεὶ ταῖς εὐτυχίαις τὸ ἀντίπαλον ἐφεδρεύειν, ὡς ἂν μηδὲν τῶν ἀνθρωπίνων ἄκρατον διατηροῖτο τοῦ ἐναντίου, ῥυπαίνοιτο δὲ βασκανίᾳ φαυλότητος τὰ λαμπρότατα. πρὸς τούτοις καὶ ὁ βλεπόμενος τάφος τοῦτον ταμιευόμενος (φιλοχρίστων βασιλέων φιλανθρωπίᾳ τὸ ἀπηνὲς καὶ ἀμείλικτον τοῦ ἔτι περιόντος καὶ ταῦτα τῷ οἰχομένῳ συγκατεργασαμένου τυράννου ἐκνικησαντων), καὶ τοῖς οἰκείοις κἂν μετὰ θάνατον γοῦν ὁ ἀνοσίως κατάκριτος ἀποκαθιστάμενος, ἵν' ἔχοι καὶ πάλιν ἡ τῆς ἐπαγγελίας ἁγία γῆ τὰ τοῦ ἠγαπημένου ὀστᾶ Ἰωσὴφ διὰ τῶν ἱερῶν λογάδων ἀνασῳζόμενά τε καὶ κηδευόμενα· μόνον γὰρ ἐκέλευσαν βασιλεῖς καὶ πανταχόθεν ὥσπερ ἀπὸ συνθήματος— τί γὰρ οὐκ ἔμελλεν οὕτως ταῦτα ἐνεορτάζεσθαι; — τὰ πλήθη συρρεύσαντα πρῶτα μὲν διαποντίῳ πομπῇ τὸν ἀθλοφόρον ἐκ τῆς ὑπερορίας παρέπεμπε, λαμπάσι τὴν ὑγρὰν ἀμυθήτοις (ἔστιν ἃς καὶ βασιλέων ἐπεχορήγει φιλοθεΐα) καταφαιδρύνοντα, εὐώδεσι θυμιαμάτων ἀτμοῖς τὴν τῆς θαλάσσης ἀηδίαν διασκεδάζοντα καὶ ὕμνοις ἀνενδότοις τὸν ἱεράρχην ἀξιοχρέως γεραίροντα.

6. Ἐπεὶ δὲ τῇ Ῥάβδῳ οὕτω καλουμένῃ προσέσχον ἀκτῇ, ἤρετο μὲν τοῦ βασιλείου ἀκάτα τὸ ἱερώτατον σκῆνος, τῇ δὲ τοῦ μάρτυρος Αἰμυλιανοῦ θείᾳ σκηνῇ εἰσῳκίζετο, ἔνθα τοῖς καταλλήλοις ὕμνοις ὁ τοῦ θεοῦ θεράπων ὑποβληθεὶς καὶ λόγοις ἐπιταφίοις τετιμημένος, τῶν ἀρχιερέων τινὸς τῇ θεολήπτῳ γλώσσῃ τὴν τοιαύτην ὁσίαν τετελεκότος, ἀνήγετο πάλιν ὁ ἱερὸς σκίμπους ἐκεῖθεν αἰρόμενος, καὶ τῷ ἐνταῦθα σεμνείῳ προσκομιζόμενος, ἤρετο βοὴ παρὰ πάντων, ἀρχόντων, ἀρχομένων, πλουσίων, πενήτων, ἀνδρῶν, γυναικῶν, παιδίων, ἡβώντων, ἀνήβων, τῶν μὲν τὸν μετὰ

2 cod. φόρνοις || μὲν inserui. 3 ὠθούμενον in margine; ποθούμενον in textu. 15 Exod. XIII, 12.

θεὸν πατέρα ἀνακαλούντων, τῶν δὲ τὸν ποιμένα ἐπιζητούντων, τῶν δὲ τὸν προστάτην ἐπιποθούντων, πενήτων τὸν τροφέα, γυναίων τὸν μετὰ θεὸν ἀντιλήπτορα, τῶν παίδων τὸν σωφρονιστὴν ἐπιβοωμένων καὶ πάντων τὸν πᾶσι πρὸς τὴν κατεπείγουσαν χρείαν εἰς παραμυθίαν εὑρισκόμενον. οὕτω καὶ ταύτης τῆς ἐπικηδείου προόδου σὺν εὐφημίᾳ ἀνυομένης, τὸ ἱερὸν τοῦτο κατελαμβάνετο τέμενος, ὑφ' ᾧ τὰ λείποντα τῶν νενομισμένων συντελεσάμενοι καὶ τῷ περιλοίπῳ σκήνει τῇ πίστει τῶν συνδεδραμηκότων κινδυνεύοντι διασπασθῆναι βιαίως τοῦτο τῶν ἁρπαζόντων ἐκτιναξάμενοι, τῇδε τῇ ἱερᾷ κατατίθεμεν σορῷ τὸν ἱερὸν τῳόντι καὶ τοῦ θεοῦ ἄνθρωπον.

7. Ἆρά σοι μικρὰ ταῦτα χαρακτηρίσαι ἀνδρὸς ἀρετήν, θεοῦ πρόνοιαν, δεξιωτέροις τε καὶ τοῖς ἀπ' ἐναντίας τούτων εἰσέτι ζῶντας τοὺς ἑαυτοῦ θεράποντας ταλαντεύοντος; οὐκ ἂν οἶμαί τις ἀντείποι, ἐκεῖνος δὲ μόνος, ὃς καὶ τὴν τοὺς πολλοὺς ἀνεμποδίστως ἐνταῦθα παίζουσαν εὔροιαν ἆθλον ἐνόμισεν ἀρετῆς καὶ τὴν τοῦ βίου δυσκολωτέραν πορείαν ποινάς τινας ψήφῳ ἄνωθεν εἰσαεὶ ἐπιμετρουμένας ἀνθρώποις, κακῶς οὕτως εἰδὼς ἐπιζημίως τε ἑαυτῷ καὶ τῆς τοῦ ζυγοστατοῦντος σοφίας ἀλλοτριώτερον. ἀλλὰ γὰρ ὧδε τοῦ λόγου γενομένοις ἀντεξεταστέον τὰ νῦν ἐπὶ τῷ μακαρίῳ τούτῳ συντελεσθῆναι τοῖς ἐπ' Ἀλεξάνδρῳ προβᾶσι, καὶ καταληπτέον θεοῦ δικαιοσύνην, τοῖς καταλλήλοις ἑκάστῳ τὸ δέον ἐπισταθμίζουσαν. ὁ μὲν γὰρ βασιλεύς τε καὶ βασιλείου γονῆς καὶ μετὰ τῆς ἐξουσίας τὸ ἄθλιον ψυχάριον ἀποπτύσας οἵων ἔτυχε τῶν ἐπικηδείων; μᾶλλον δὲ μικρὸν ἄνω τὸν λόγον ἀνηρτηκότες οὕτω τὰ ἑκατέρωθεν θεωρήσωμεν· ὁ μὲν γὰρ ἐνταῦθα θησαυριζόμενος οὕτω τραφείς τε καὶ ἀναχθείς, τοσούτοις δὲ καὶ τοιούτοις τὴν ἀρετὴν βεβασανισμένος καὶ λαμπρυνάμενος, τοιούτου τοῦ τέλους, τοιαύτης ἐκύρησε καὶ ταφῆς, ἐνδόξου καὶ μεγαλοπρεποῦς, ὡς ὁρᾶτε, καὶ οἵα τοῖς τῷ θεῷ ἀνακειμένοις ἀκόλουθος, καὶ ταῦτα τῆς τοῦτον τῷ ἀνηκέστῳ τύμματι δεδηγμένης δρακοντείου κεφαλῆς ἔτι τῷ λοιπῷ σπαιρούσης ὁλκῷ καὶ πολλῷ τῷ θράσει ῥεούσης, μὴ

---

5 cod. ἐπικηδίου. 8 cod. περιλοίπω. 25 cod. ἐπικηδίων.

ἄν τι τῶν χρηστοτέρων ἐπὶ τούτῳ προβῆναι, εἰ καὶ διακενῆς ἔμελλε θράττεσθαι, τοῦ ἐπιγείου κράτους εἰς ἀφρὸν αὐτῷ παρασκευακότος τὰ κύματα διαλύεσθαι.

8. Καὶ οὕτω μὲν οὗτος. Ἀλέξανδρος δέ, εἴ τι μὲν εἰς θρύψιν τῆς κατὰ γῆν εὐετηρίας ὁρᾷ, ἐξ ἔτι σπαργάνων λαχών, τραφείς τε ὑπ' ἀδελφῷ χρηστῷ τε καὶ εὐαγεῖ — καὶ τί γὰρ πλέον εἰπεῖν ἢ ἀδελφῷ;—· ὅς, καίτοι πολλὰ κατ' αὐτοῦ νεωτερίζειν ἐπικεχειρηκώς, ἡλίσκετο μέν, οὐ μέντοι καὶ τῆς εἰς αὐτὸν κακονοίας ἔτινε δίκας, οἷα τοιαῦτα πολλὰ τοῖς πρὶν ἐξεγένετο, ἀλλ' ἐπείχετο μόνον καὶ ἀπεπαύετο τῆς μισαδέλφου πρὸς τοῦ ἐπιβουλευομένου ὁρμῆς· συνετηρεῖτο δέ, ὡς μὴ ὤφελε, τῇ βασιλείᾳ, τοῦτο δοκοῦν δίκαιον τῷ εἰς τὴν ἀρχὴν ἐπηρεαζομένῳ, ἀστασίαστον τῷ τὴν ἀρχὴν συλλαχόντι καὶ ἀπαθῆ παραδοῦναι κακῶν. ἐπεὶ δὲ Λέων ὁ εὐμενέστατος καὶ γλυκὺς βασιλεὺς τῇ ἀνθρωπείᾳ φύσει ὑπείκων μετ' εἰρήνης ἀπελύετο τῶν τῇδε, τὴν αὐτοκράτορα τύχην Ἀλεξάνδρῳ καταλιπών, ἔδειξεν οὗτος εὐθὺς ἐκ προοιμίων μηδὲν ἀπονάμενος τῆς ἐπιεικοῦς τοῦ ὁμαίμονος συναναστροφῆς, οἷος ἦν, καὶ τὴν παροιμίαν ἐπαληθεύουσαν, ἄνδρα γε τῷ κρατεῖν ἄφρονα ἐπὶ τὰ χείρω προκόπτοντα· ὃς γὰρ λοιμὸς καὶ ἀποφρὰς ἄνθρωπος, ὃς αἰσχροποιὸς ἀνήρ, ὃς ἁπάσης κακίας δημιουργός, ἐγγύθεν αὐτῷ παραθέων καὶ συμβούλοις ἐναριθμούμενος, οὗτος αὐτῷ ἐπῃνεῖτο καὶ συνδιαφέρειν αὐτῷ τὴν ἀρχὴν ἐπανείληπτο, ἀφ' οὗ γε, καὶ εἴ τι τοὺς πολλοὺς τέως ἐλάνθανε τῶν κατὰ τοῦ ἀδελφοῦ συσκευαζομένων, λαμπρῶς ἤδη ἀνεκαλύπτετο καὶ ἰταμῶς ἐπαρρησιάζετο· ἠκύρωντο μὲν γὰρ αἱ τοῦ ἀνεξικάκου καὶ σωτῆρος αὐτοῦ διαθῆκαι, ἐπαροινοῦντο καὶ ἀπεδοκιμάζοντο οἱ τἀδελφοῦ φίλοι, παρηνομεῖτο δὲ καὶ αὐτὸ τὸ βασίλειον λέχος, οὐδέν τι ἐξαμαρτὼν, καὶ τῆς βασιλείας ἀπεωθεῖτο, καὶ εἰ μὴ κύριος ἐγκατέλιπε γῇ βασιλείου σπέρμα γονῆς, [redacted] ἂν καὶ τὸν νῦν εὐτυχῶς βασιλεύοντα Κωνσταντῖνον παραγκωνισάμενος εὐνουχίᾳ Σκλαβηνῷ μειρακίῳ, αἰσχρῷ μὲν ἰδεῖν, αἰσχροτέρῳ δὲ ἐντυχεῖν, τὰ τῆς Ῥωμαίων ἀρχῆς παρεδίδοτο.

---

13 cod. ἀπαθεῖ. 26 ἐπαροινοῦντο] sic codex. 28 cod. ἀποωθεῖτο 29 cod. σπ. γονῇ, ἄν; Lipomanus: et nisi terris dominus regiae stirpis semen reliquisset, ipsum hunc etiam, quem nunc feliciter etc.

9. Ταύτης τῆς ἀτοπωτάτης ἔργον καινοτομίας καὶ ἡ ἐπὶ τῷ μακαρίῳ τῷδε κακοπραγία· τοῖς γὰρ πολλάκις ἐληλεγμένοις τῷ Λέοντι ἐπιβούλοις, δι' ἃ καὶ τῶν ἐκκλησιῶν παρεώσθησαν, μᾶλλον δὲ ἑαυτοὺς δέει τοῦ φωραθῆναι ὑπέστειλαν, χρησάμενος ὡς ὁμογνώμοσι συμβούλοις, ἀνδράσι χαλεποῖς τε καὶ θηριώδεσι καὶ μόνον πρὸς ἕν, τὸ χρηματίζεσθαι, βλέπουσιν, ἔδρασεν οἷα εἰκὸς τὸν ἐκδοθέντα τοιούτοις ἀλάστορσι. καὶ τὰ μὲν ἄλλα παρήσειν μοι δοκῶ, ὅσα κατὰ τῶν ἁγίων ἐνύβρισεν· ἐκείνων δὲ μόνων ἐπιμνησθεὶς τὸ πᾶν οἶμαι δηλώσειν τῆς τούτου σκαιότητος. νόμος χριστιανῶν βασιλεῦσι, μᾶλλον δὲ καὶ πᾶσι χριστιανοῖς, τοῖς θείοις ἐπιβαίνουσιν ἀνακτόροις ἀκατακαλύπτῳ τῇ κεφαλῇ ἐπιβαίνειν, Παύλου τοῦ ἱεροῦ ἀποστόλου τὸν νόμον εἰσαγαγόντος καὶ πολιτεύσαντος. τοῦτον τὸν νόμον οἱ τὰ πάντα σοφοί τε καὶ καθαρώτατοι λύσαντες κεκαλυμμένῳ τὴν κεφαλὴν εἰσηγήσαντο τοῖς ἀψαυστουμένοις ἐπεισιέναι ἀνθρώπῳ παχυδέρμῳ τε καὶ ὑώδει καὶ μονονοὺ καὶ γρυλλίζοντι καὶ τί γὰρ ἄλλο ἢ τῇ Βοιωτίᾳ ὑὶ παρισουμένῳ καὶ τούτῳ παρακεχωρημένῳ καὶ ἐπὶ μείζω οἴῳ τε παιδοτριβηθῆναι τολμήματα. ὃ καὶ καλῶς ποιοῦν συνδεδράμηκε, καὶ δή γε εἰσῆγον καὶ τῇ ἱερᾷ τοῦτον παρίστων τραπέζῃ, ἐλύτρῳ περικαλύψαντες ἀλουργεῖ, αἰσχύνην αὐτῷ τε καὶ ἑαυτοῖς μνώμενοι. τὸ δ' ἦν, οἶμαι, ποινὴ τῆς εἰς Εὐθύμιον τοῦτον τὸν ἱερὸν μιαιφονίας. μονονοὺκ ἐτόλμα τοῦτο 'Αλέξανδρος καὶ τῶν φρενῶν ἐσυλᾶτο καὶ οὐκέτι ἐν ἑαυτοῦ [ἦν], ἀλλὰ μεγάλῳ τῷ εἰρημένῳ πρὸς τὸ κρεῖττον καταφρονήματι τὸ μέγιστον προσετίθει τε καὶ ὀλέθριον. τοῖς γὰρ κατὰ τὴν ἱπποδρομίαν ἀγάλμασι τὰ ἀνθεστήρια θύσας τὴν ἔνδικον ἀντελάμβανε μισθαποδοσίαν. οὔπω τὸ πᾶν ἀπήρτιστο τῆς βακχείας καὶ ὃ μὲν ἐλεεινὸς φοράδην τοῖς ἑαυτοῦ κοιτῶσιν εἰσεκομίζετο, οὐδὲν ἀνεκτότερον Ἡρώδου τούτου διαγενόμενος, ὃς Ἰάκωβον τὸν Ζεβεδαίου εἰς χάριν τῶν χριστοκτόνων ἀνῃρηκὼς καὶ Πέτρῳ ἐπιτιθέμενος τῷ κορυφαίῳ κατάλληλον εἶχε τὴν ἀμοιβήν, ἐν μέσῃ

---

11 Corinth. 1, xι, 5. 15 cod. μόνον οὐκ. 16 Βοιωτίᾳ ὑὶ] Corpus paroem. II, σ. 151, 333. 17/18 apogr. τολμήματα vel τολμήσειν. 21 cod. μόνον οὐκ. 23 cod. ἑαυτοῦ$^{σ}$α. 28/30 Acta apost. xxι, 1-6, 21-23.

πανηγύρει καὶ βασιλείῳ δορυφορίᾳ οἰδήματι ἀλγεινοτάτῳ καὶ σκωλήκων ἀπιστουμένῃ ἐκζέσει τὸν βίον καταστρεψάμενος.

10. Πῶς δαὶ καὶ ὁ καθ' ἡμᾶς οὑτοσίν; ἴστε τὴν κακοδαιμονεστάτην αὐτοῦ ἐκφορὰν καὶ τὴν πρὸς τὸν τάφον ἐπιταχύνουσαν πρόοδον, καθ' ἣν συντέτριπτο μὲν ὁ βασίλειος νεκροφόρος ἀσκάντης, ὥσπερ ἀγανακτήσας δυσσεβεστάτῳ φορήματι, ἀπῶζεν δὲ τὸ ἄθλιον σῶμα δριμεῖάν τε καὶ δυσάντητον ἀποφορὰν καὶ πᾶσαν θυωμάτων εὔπνοιαν συγχέουσαν, ἐξώγκωτο δὲ θαυμάσιον οἷον (καὶ ταῦτά γε δὴ καὶ τὰ τῆς ἔνδον οἰκονομίας, ἔτι ζῶντος φασὶ δι' ἀφεδρῶνος ἐκφορηθείσης πλαδώδους μὲν τῆς σαρκός, μυδῶντος δὲ ἤδη τοῦ βαρυτόνου χρωτός), ὡς μόλις φθάσαι τῇ ὡρισμένῃ πτυέλῳ αἰσχρῶς τε καὶ ἀκόσμως ἀπορριφῆναι. παράλληλα κείσθω τοῖς ἡμετέροις τὰ τούτου, καὶ δὴ δεικνύσθω τί μὲν ὁ θεοπειθής τε καὶ εὐσεβής, τί δὲ ὁ τολμητὴς καὶ θεοστυγής, καὶ πῶς μὲν τελευτὴ τιμᾶται ὁσίου, πῶς δαὶ ἡ τοῦ βεβήλου χλευάζεται. πρὸς γὰρ τοῖς εἰρημένοις οὐ τῆς νενομισμένης ὁσίας ἐτύγχανεν, οὐ βασιλείου πομπῆς ὑπό γε τῶν ἐν τέλει συγκροτουμένης, πλὴν ὅσων ὀλίγων καὶ τῶν χυδαίων σχεδόν, οἳ καὶ τῷ τυχόντι τὸ εἰωθὸς συντελέσειαν, καίτοι πολλοὺς τοὺς σπουδαστὰς ἔχων καὶ οὐ κεκωλυμένην τὴν συνδρομήν, εἰ μή που καὶ κατάχρεως καὶ τῶν ἀνυπερθέτως τοῖς αὐτοκράτορσι, κατανύεσθαι. ἀλλ' ἔδει τοιαύτῃ τὸν ὑβριστὴν ταφῇ χρήσασθαι συμβόλῳ τῶν ἐκεῖσε μαστίγων, ἃς τὰ τῇδε τούτῳ ἠσεβημένα ἐξεπορίσαντο. ἀλλ' οὗτος μὲν οὕτως, ἀξίους ἀποπλήσας ἀλάστορας.

11. Τί δαὶ οἱ τούτῳ τὸ διαβούλιον ἐνστησάμενοι καὶ μάλισθ' ἡ περισκαίρουσα τῇ πονηρᾷ κεφαλῇ οὐρά; τῶν μέν τινων τὸν ὄλεθρον τεθεάμεθα, ὧν καὶ τὸ μνημόσυνον μετ' ἤχου ἀπώλετο, τοῦ δ' ὅσον οὔπω ἐφέστηκεν· οὐ γὰρ ὁ στεναγμὸς τῶν πενήτων εἰς τέλος ἀπολεῖται, καὶ ᾄσεται χορὸς τῶν νεανίδων, αἱ καθ' ἡμᾶς φημι ἅγιαι ἐκκλησίαι, τὸν ἐπινίκιον τοῦ νέου καὶ ἀλαζόνος Φαραώ, σὺν ἅρμασι καὶ ἀναβάταις ὑποβρυχίου χωρήσαντος· εἰς τοῦτο γὰρ αὐτῷ φέρει τὸ ἀκαμπὲς καὶ σκληρὸν καὶ ἀμείλικτον. ἀλλὰ τὰ μὲν

---

8 cod. ἐξώγκῳ τὸ. 26 μνημ. μετ' ἤχου ἀπώλετο] Psalm. IX, 7. 27/28 στεναγμὸς - - ἀπολεῖται] Psalm. IX, 19. 29/30 Φαραὼ - ἀναβάταις] Exod. XV, 19.

ἐῶμεν, λοιπὸν δὲ τῶν ἐξ ἀρχῆς ἐχώμεθα λόγων, τοσοῦτον ὑπειπόντες τοῖς φθάσασιν.

12. Ὦ κράτος ἀρχιερέων θεοῦ, μετὰ τῶν δι' ἀρετὴν ἠδικημένων συναγαλλόμενε, μετὰ τοῦ Ἄβελ διαφθονούμενε, μετὰ Ἰακὼβ τοῦ πάλαι ζηλοτυπούμενε, μετὰ Ζαχαρίου σφαζόμενε, μετὰ Ἰακώβου τοῦ Ζεβεδαίου εἰς ἀρεστὸν τοῖς Ἰουδαίοις θυόμενε, μετὰ τοῦ θείου Ἀθανασίου ἀπελαυνόμενε, μετὰ Παύλου τῷ τῆς ὑπερορίας βρόχῳ ὡς οὗτος τῷ τῆς ὁμολογίας ὡραϊζόμενε, μετὰ τοῦ χρυσοῦ Ἰωάννου ἐν ἐξορίᾳ συνθανατούμενε, μετὰ Νικηφόρου καὶ Φωτίου τῶν ἀοιδίμων τοῖς διωγμοῖς καὶ θανάτοις συνδοξαζόμενε, σὲ οὐκ ἐκάλυψε τάφος, ἀλλὰ τῇ ὑπ' οὐρανὸν ἀνεκάλυψεν· οὐκ ἔκρυψε γῆ, ἀλλὰ τοῖς ἁπανταχοῦ μέρεσιν αὐτῆς ἐνεφάνισεν ἄξιον ἀρχιερέα τοῦ προκεχειρικότος θεοῦ, ἄξιον κήρυκα τῶν μεγαλείων αὐτοῦ, ἄξιον καὶ τῶν ἱερῶν ἑαυτοῦ πόνων τὸ τέλος ἀπενεγκάμενον. ἀλλ' ὅμως τῶν σεαυτοῦ πόνων ἀπέχων τὰς ἀμοιβὰς καὶ τῷ καθηγεμόνι συνὼν ἤδη καὶ διδασκάλῳ Χριστῷ αὐτόθεν ἡμῖν τοῦτον ἐξευμενίζοις στῆσαι τὴν καταιγίδα, τὸν κλύδωνα ἐπισχεῖν, καταπαῦσαι τὸν σάλον, τοῖς συνηδικημένοις ἡμῖν βραβεῦσαι τὸ πρόσφορον, ἤτοι τῆς κρίσεως τούτων εἰς νῖκος ἐξαγομένης, ἢ καὶ τῶν ἐπηρεασάντων ἐπεγνωκότων, ἃ ἐπλημμέλησαν, παλινῳδίαν ἀναβαλλομένων ἐπάξιον.

---

6 ἀρεστὸν] Acta apost. xii, 3. 11 cod. ἀπεκάλυψεν. 12 cod. ἀνεφάνισεν. 18 cod. ὑμῖν.

# III.

## ΑΡΕΘΑ

### ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας

### πρὸς τὴν ὑπὸ τῶν Ἀρμενίων γραφεῖσαν ἐπιστολήν.

1. Καὶ τῆς ἱερᾶς ὑμῶν υἱότητος λόγον ἀποδιδόναι περὶ τῆς καθ' ἡμᾶς ἐλπίδος κατεπειγούσης καὶ τῆς μεγάλης καὶ θεσπεσίας Χριστοῦ σάλπιγγος Παύλου τὰς ἀσυνέτους κενοφωνίας περιίστασθαι παρεγγυώσης, ὡς ἐπ' οὐδενὶ μὲν χρησίμῳ συντελουμένας, εἰς μάχας δὲ καὶ φιλονεικίας ἀποτελευτᾶν εἰωθυίας καὶ τὸ ἁπλοῦν τε καὶ ἄδολον καὶ εἰρηναῖον γνώρισμα τῆς Χριστοῦ μερίδος εἰς τοὐναντίον διαβαλλούσας, μέσος ἀμηχανίας ἐπὶ πολὺ κατεστάθην, τίνι προσνείμω τὴν τῶν προαιρουμένων ἀποσκοπεύων ῥοπήν, πότερον τοῖς ἐν προσχήματι τοῦ μαθεῖν ἐπὶ τὰς εἰκῇ καὶ μάτην ἐρεσχελίας παρακαλοῦσιν, ἢ τὴν γλῶσσαν πεδήσας καὶ τὴν τοῦ λόγου ῥύμην τῷ τῆς σιωπῆς χαλινῷ κατάγξας τὸ πᾶν τῆς τοῦ θείου Παύλου γέ νωμαι διδασκαλίας· ταῦτα κατ' ἐμαυτὸν στρέφων οὐκ ἐπὶ βραχὺν χρόνον καὶ ἐφ' ἑκάτερα ταλαντεύων τὴν γνώμην, ὀψὲ μὲν ἀλλ' οὖν ἀνεῦρον ὅ τι καὶ χρήσομαι ἐμαυτῷ. ἵνα γοῦν μὴ τῇ τελέᾳ σιγῇ ἐπὶ τὸ ἄπορον τῇ ὑμετέρᾳ υἱότητι προβαίνων καταφανῶ, μηδ' αὖ πάλιν τῇ τοῦ λέγειν ἀσχέτῳ φορᾷ πόρρω δόξω φερόμενος τῆς σοφῆς ἐπισκήψεως, ἅτε δὴ τὸν τῆς σωφροσύνης ἐνδακὼν χαλινόν, ἀμφότερα ταῦτα κεράσας εἰς ἓν καί τι μὲν ἐπεγνωκὼς ῥητέον

---

1 Codex Mosquensis 302, fol. 42a-46a. 6 τὰς ἀσυν. κενοφωνίας περιίστασθαι] ad Timoth. 2, II, 16 «τὰς δὲ βεβήλους κενοφωνίας περιίστασο». 8 cod. εἰωθείας.

εἶναι τοῖς τὸν λόγον ἐπιζητοῦσιν ὑμῖν, τί δὲ ἐπισχεῖν τῷ μεταρσίῳ Παύλῳ πειθόμενος, ἥκω τανῦν σὺν ἐπιρρώσει τοῦ θείου καὶ ἡγεμονικοῦ πνεύματος εἰς τὸν τοῦ λέγειν ἀγῶνα καθεὶς ἐμαυτόν· οὐδὲ γὰρ εὐπρεπὲς ἄλλως οὐδ' ὅσιον τοὺς μὲν ἐπὶ διαστροφῇ τῆς εὐσεβείας τὸν ἑαυτῶν λόγον προβαλλομένους μηδὲν κατοκνεῖν, ἡμᾶς δὲ ῥαθυμοῦντας καὶ ἀναπεπτωκότας ὁρᾶσθαι, τὸ νόστιμον τῆς ὀρθῆς πίστεως ἅλας μωραίνοντας.

2. Τὸ μὲν οὖν μήτε τὸν χρόνον τινὰς δυσωπεῖν, εἰς ἔτη που συγκεφαλαιούμενον πεντακόσια, καθ' ὃν παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὸν ἱερώτατον κλῆρον παρέπεμψαν πρὸς ἡμᾶς ἐλευθεριώτατον καὶ οἰκουμενικὸν θέσπισμα, μήτε τὸ πλῆθος τοῦτο μὲν τῶν συγκροτησάντων τοῦτο δὲ τῶν ἐπιγενομένων ἀξιολόγων καὶ θείων τῷόντι ἀνδρῶν τὴν ἐν Χαλκηδόνι μεγάλην καὶ θαυμασίαν σύνοδον καταδέχεσθαι καὶ ταῖς πρὸ ταύτης τρισὶ συγκαταλέγειν τε καὶ συναριθμεῖν, ὀκνῶ μὲν ἀλλ' ὅμως εἰρήσεται εἰς ἀπειθεῖς, ὄντως ἀποσκυβαλιζομένων ἔργον ἀνθρώπων καὶ μὴ ἂν ἑλέσθαι πρὸς τὴν ἀλήθειαν ἐνατενίσαι σκοπὸν προστησαμένων, ἀλλὰ τῷ φωτὶ ἑαυτῶν κεκρικότων πορεύεσθαι καὶ τῇ φλογί, ᾗ ἐξέκαυσαν. τί δ' ἂν τινι καὶ δοθείη καὶ τί προστεθείη πρὸς γλώσσας τοιαύτας, ἔριδι καὶ διχοστασίαις τὸ τοῦ ζῆν χαρακτηριζούσας ἐξαίρετον καὶ τοῦτο πρός τε τὸ σαρκικῶς ἀλλ' οὐ κατὰ Χριστὸν βιοῦν ἀπορρεούσας, πρός τε τοσαύτας ἱερὰς καὶ θείας ἀντιβλεπούσας συνόδους, τὰς μετὰ τὴν ἐν Χαλκηδόνι μὲν κρηπῖδα δὲ τὴν ἐν Χαλκηδόνι τιθεμένας, καὶ ἔρεισμα πίστεως οὐδεμίαν αὐτὰς ἐχούσας, οὐδὲ τὴν φαυλοτάτην οἰκουμενικὴν σύνοδον τὴν ἑαυτῶν κατὰ τοῦ χρηστοῦ σίτου ζιζανιώδη ἐπισπορὰν ῥωννῦσαν καὶ ἐπισχύουσαν; πλὴν εἰ μή που σπήλαια λῃστῶν διὰ τῆς αὐλῆς καὶ τοῦ προτειχίσματος, οὐ διὰ τῆς θύρας, βιαζομένων τὴν εἴσοδον, ἢ καὶ εἰς ἀλώπεκας ἀφανίζοντας μὲν ἀμπελῶνας, μικροὺς δέ, οὐ μέντοι γε καὶ ἀγρὸν πλήρη δογμάτων ἐνθέων, τῆς ἀκραιφνοῦς πίστεως χρόνῳ καὶ λόγῳ τὸ κράτος καταπλουτούντων, καὶ τῆς τῶν γεωργούντων φι-

---

7 ἅλας μωραινοντας] cfr. Matth. v, 13. Luc. xiv, 34. 14 πρὸ] cod. πρὸς. 18 φωτὶ - - ἐξέκαυσαν] cf. Esai. L, 11. 21 cod. τούτῳ - - τῷ. 26 cod. ἐπεισπορὰν. 28 ἢ] cod. εἰ. 29 ἀλώπεκας - - μικροὺς] cf. Cant. II, 15.

λοπονίας οὐκ ἀτιμότερον· ὂν ὁ τοὺς εὐλογοῦντας ἀντευλογῶν μόνος εὐλόγησε κύριος.

3. Καὶ πρός γε τούτοις ἐκεῖνό φημι, ὡς, εἴ τις Νεστορίῳ τῷ δυσσεβεῖ καὶ τῷ μετ' αὐτὸν ἴσην ἐκ διαμέτρου τὴν ἀσέβειαν ἀπενεγκαμένῳ δυστυχεστάτῳ Εὐτυχεῖ καταχαρίζεσθαι βουληθείη, οὐκ ἄν τι τοιοῦτον οὐδὲν κατασπουδάσαι ἐργάσασθαι, ὡς τῇ ἐν Χαλκηδόνι συνόδῳ διαβεβλημένως κεχρῆσθαι, τῷ μὲν ὡς τὴν τῶν δύο υἱῶν ἐπὶ τοῦ θεανθρώπου ταύτην ἀθετοῦσαν μανίαν καὶ εἰς μιᾶς ὑποστάσεως εὐσεβῆ τε καὶ σώφρονα σύνθεσιν τὸν αὐτὸν ἐνοποιοῦσαν καὶ ἀφορίζουσαν—πῶς γὰρ ἂν εἷς ἀνθ' ἑνὸς Ἀδὰμ καὶ κύριος εἷς ὁ πρὸς δύο κατατεμνόμενός τε καὶ διασπώμενος πρόσωπα;—, τῷ δὲ ὡς τὸ δυστυχὲς ἀπελέγξασαν φρόνημα τοῦ ἐπ' ἀναιρέσει τῆς σωτηρίου ἐνανθρωπήσεως τὴν σάρκα φαντάζοντος. αὐτὴ τοῖς ἐναλήθεσι δόγμασι τῶν ἐπὶ Χριστοῦ ἀληθῶν φύσεων ἀσυγχύτῳ συνδρομῇ τε καὶ συνυπάρξει ἕνα υἱὸν ἐκ δύο τῶν ἐναντίων φύσεων εἰς μιᾶς συνέλευσιν ὑποστάσεως τὸν μονογενῆ υἱὸν ὡς ἄνωθεν κατὰ τὸ ὑπερούσιον ἐκ πατρὸς καὶ κάτωθεν κατὰ τὸ ἡμέτερον ἐκ μητρὸς εἰλικρινῶς καὶ ἀνεπιθολώτως χρηματίσαντα δογματίσασα· ἤτοι πῶς ἂν ἀληθῶς πάθοι καὶ τίνι σωτηρίως τὸ πάθος προβαίνοι, αὐτὸς ἢ φάσματι περιάπτων τὸ πάθος, ἢ γοῦν ἀπρόσιτον φύσιν τῷ πάθει διεφθορώς, ὡς μηδὲ πιστεύεσθαι τὸ ἐντεῦθεν τοῖς ἄλλοις βραβεύειν τὴν σωτηρίαν τὸν μηδὲ τῇ ἑαυτοῦ φύσει τὸ ἀπαθὲς διασώσαντα; καὶ ὡς, εἴ τις τὸ φρόνημα ἀθετῶν ἀποσκιρτᾶν ἕλοιτο, λάθοι ἂν κατὰ κρημνῶν τὴν ἀσέβειαν ὁμοτίμων ἐξωθῶν ἑαυτὸν καὶ τῇ ἐναντιότητι τῶν ληρημάτων εἰς τραγελάφους τε τὸ μυθῶδες καὶ κενταύρους τὸν τῆς ἑαυτοῦ πίστεως χαρακτῆρα ἀφομοιούμενος, καὶ ταὐτὸ ἐκεῖνο Σεβήρῳ τῷ δυσσεβεῖ ἐκ τάφου ἀνεῳγμένου τοῦ ἑαυτοῦ λάρυγγος ἐρευγόμενος καὶ πρὸς τὴν αὐτὴν Σεβήρῳ κατακυλιόμενος ἀρὰν καὶ τοῦ ἐνδίκου κληρονομῶν ἀναθέματος· ὁ γάρ, οἷς ἂν ἀντιλέγον ὁρῷτο τὸ ἀποσκευαζόμενον, τούτοις τῇ πρὸς αὐτὸ διαβολῇ τε καὶ ἀθετήσει συνηγορῶν, οὗτος ὁμόγλωσσος ἐκείνοις καὶ ὁμογνώμων, κἂν μήπω ταὐτὸν ἐκείνοις τὸ βλάσφημον κατὰ τῆς ἀληθείας

27 ἐκ τάφου - - - λάρυγξ] Psalm. v, 10. xiii, 3.

ἐξεμῇ. καίτοι γε ἐχρῆν, οἶμαι, ἐκείνων τὸ δύσφημον ἐκφαυλίσαντας καὶ ταύτην ἀσπάζεσθαι τὴν ἐν γενναιότητι δογμάτων θεοπρεπῶν τοὺς θῆρας λαμπρῶς παραδειγματίσασαν καὶ πρὸς τοὺς ἑαυτῶν φωλεοὺς ὑποδῦναι καταναγκάσασαν καὶ σεμνύνουσαν μὲν Κύριλλον, οὗ δῆθεν ὑμεῖς ἀντεχόμενοι καὶ ᾧ συνομολογεῖν ἐγνωκότες ταύτην ἀποκηρύττετε, ὑπεραγαμένην δὲ μάλιστα καὶ εἴ τις τῷ θείῳ τούτῳ ἀνδρὶ τὴν περὶ τούτων γνώμην ἐνάμιλλος. πῶς δ' ἄν, εἰ διάφορος αὕτη Κυρίλλῳ τὴν κατὰ τὴν οἰκονομίαν ὁμολογίαν, ἢ παρεδέχετο Κύριλλον ὅλως, ἢ τοῖς ἄλλοις πατράσι συνεξεθείαζεν, ἀλλ' οὐ ταὐτὸν Εὐτυχεῖ τε καὶ Διοσκόρῳ ἐμίσει καὶ ἀπεστρέφετο; σωφρόνων γὰρ ἂν καὶ παντὸς τὴν ἀλήθειαν τιμωμένην μηδὲν καθυφεῖσθαι καὶ ἐγκαλύπτεσθαι τῶν ὅσα καπηλεύειν τὸν ὀρθὸν λόγον ἐπίσταται καὶ πρὸς καιροὺς καὶ τύχας τὸ φίλτρον ἐξειθικότα διασκευάζεσθαι.

4. Γέλως δέ με καὶ πρὸς ἐκεῖνο τῶν παρ' ὑμῶν ἔχει προτεινομένων· ἀπόβλητον γὰρ ὑμῖν κατασπεύδουσι τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποφῆναι ὡς ἂν ἐξῇ ἀδεῶς τὸ πρὸς μίαν σύνθετον φύσιν κακὸν παρεμπόρευμα παρρησιάζειν, πρὸς ὃ ταύτῃ ἐν μιᾷ ὑποστάσει ἐκ δύο ἀναλλοιώτων φύσεων τὸ ἀγώνισμα, πολλοῖς ἐκβιάζεσθε ταύτην τοῖς Νεστορίῳ ἀνωμολογημένοις συνομογνωμονεῖν. ἐγὼ δέ, εἰ μὲν ὅτι Νεστορίῳ ἔν τισιν ὁμογνωμονεῖ, διὰ ταῦτα δικαίως ἐκβάλλεσθαι οὔπω φημί, πρὶν ἂν τῶν κατεπειγόντων ἀπαλλαγεὶς εἰς τὸν ἐπιτήδειον ἀφικέσθαι παρῇ· οἷς δὲ συνομολογεῖ τούτῳ, εἰ δυσσεβείας φέρει κατάγνωσιν, οὐκ ἂν ἄλλον ἔχοιμι τούτου μείζω τοῖς οὕτω πρεσβεύουσιν ἀθείας ἔλεγχον κατασκεδάσαι. εἰ γὰρ ὅτι θεὸν τέλειον ἐκ πατρὸς τὸν υἱὸν πρὸ τῶν αἰώνων καὶ ἄνθρωπον τέλειον ἐκ μητρὸς τὸν αὐτὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν προελθεῖν Νεστόριος ἐμπεδοῖ, μέχρι τούτου διανοούμενος κάλλιστα — συνᾴδει δὲ τούτοις καὶ ἡ ἐν Χαλκηδόνι — θεὸν ἀληθῆ τὸν Χριστόν, τὸν ἐν ἀρχῇ τε θεὸν καὶ πρὸς τὸν θεὸν ὄντα καὶ ἄνθρωπον ἀληθῆ τὸν σαρκὶ γενόμενον ὕστερον καὶ σκηνώσαντα ἐν ἡμῖν, καὶ εἴ τι τούτοις ὁμόγλωσσον. εἰ μέχρι τοῦ περὶ ταῦτα τὰ δόγματα Νεστόριον ὑγιαίνειν συνεπομένους κατ' ἄκρας ἐκείνῳ εὐθύνετε, δέδοικα μὴ τοῖς ἀντιφθεγγομένοις τῶν τοιούτων προστίθενται δογμάτων οἱ μέμψιν τοῖς τούτοις συμφθεγγομένοις ἐπά-

γοντες, καὶ οὕτως οὐκ ἄδηλον ἤδη πρὸς οἷον καταφέρονται βάραθρον, ὀψὲ μὲν καὶ μόγις ἀλλ' οὖν τοὺς ὑποσμύχοντας ἀνακαύσαντες σπινθῆρας καὶ τὸ ἀπόρρητον πάντῃ περιφανῶς ἐκλαλήσαντες· οὐκ ἂν γὰρ εἰς μέμψιν αὐτοῖς τοῦτο προὐχώρει, εἰ μή που τοῖς ἔν τισι συμφωνουμένοις τὸ ἀηδὲς ἑαυτοῖς κατεμάνθανον· ἐπεὶ οὕτω γε ἢ καὶ πᾶσαν ἀτιμάσουσι πίστιν ὀρθόδοξον ἐν οἷς, τοῖς μὴ διόλου διαφερομένοις, τῇ τῶν δογμάτων εὐθύτητι συμφωνεῖ καὶ ἀσπάζεται, ἐκεῖνο τούτων λαμβάνουσα, τὸ σιτῶδες καὶ τρόφιμον, τοῦ δὲ ἀχυρώδους τε καὶ ἀχρείου καλῶς διαπτύουσα, ἢ τοῦτο μὴ προσιέμενοι εἰς λογοποιοὺς ἀπωσθεῖεν καὶ συκοφάντας, μᾶλλον δὲ μεμψιμοίρους καὶ φθονερούς· τὸ γὰρ τοῖς ἀπεκλελεγμένοις ἐνδιαβάλλειν ὡς κεχρημένον τὸν καθάπαξ ἀπεκλεξάμενον, ἢ πᾶσι μωμεῖσθαι κατ' ἴσον ἀξίοις καὶ μή, πῶς οὐ συκοφαντῶν πρᾶξις καὶ μεμψιμοίρων καὶ φθονερῶν;

5. Ἀλλὰ τὰ μὲν ἴσως καὶ πέρα τῆς προθέσεως ὁ ζηλωτὴς λόγος διεζωγράφησε, πολλῶν ἀνδρῶν καὶ μεγάλων οὔμενουν ἡλίκων ὑπὲρ ἡμᾶς ἐξειπεῖν τὰ τῆς εὐσεβείας πιστώσασθαι καὶ πρὸς ἐνδίκους εὐθύνας τοὺς ἀντιλέγοντας παραστήσασθαι τὸν ἐπὶ τούτοις ἀγῶνα διηθληκότων ἐπὶ λαμπροῖς τοῖς στεφάνοις καὶ ἀοιδίμοις ταῖς ἀναρρήσεσι· μεθ' ὧν καὶ ὁ χθές τε καὶ πρώην ἱερὸς μὲν τὸ γένος, ἱερώτερος δὲ τὴν σοφίαν, ὅση τε θεία καὶ ὅση τῆς κατ' ἀνθρώπους λογίζεται· τίς οὗτος; ὁ τοῖς οὐρανίοις ἀδύτοις τανῦν ἐγκατοικιζόμενος Φώτιος, ὃς τοῖς κατὰ ταῦτα εἰκαιολογοῦσι τῶν Ἀρμενίων ὑμῶν γενναίῳ λόγῳ καὶ θεοφιλεῖ ψυχῆς παραστήματι καὶ ἀναντα-γωνίστῳ γνώμῃ καὶ διαρκεῖ σοφῶς ἐφορμήσας εἶχε μὲν τῶν ἀντιπάλων ὅσον φιλήκοον, ὅσον εἰς σύνεσιν οὐ παρέσφηλεν, ὅσον ταῖς ἀποθήκαις ἢ τοῖς σταθμοῖς τοῦ θεοῦ δίκαιον ἐναυλίσασθαι· εἰ δέ τι τούτου περιελέλειπτο, πυρὸς δαπάνῃ καὶ θρέμματα θυραυλοῦντα τοῖς λύκοις εὐεπιχείρητα, ἤ, ἵνα τὸ χαλεπώτερον εἴπω, μοῖρα τῶν ἄλλων ἐλεεινὴ τῇ πρὸς τὴν ἐνάργειαν διαμάχῃ αἰσθήσεως ἐνδεὴς ἢ καὶ κολάσεως, οὐδὲν πρᾶγμα. "ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ". ἡμῖν μὲν γὰρ εὐχῆς ἔργον οὐ διαλεῖπον, πάντας ἐντὸς τῶν

24 cod. ἀνταγωνίστῳ. 25 cod. ἀντιπάλλων. 31 Num. xvi, 5.

ἱερῶν ἀπολαβοῦσι σηκῶν, σύμφωνον ἀναπέμπειν τῷ παναγίῳ θεῷ τὴν ὑμνῳδίαν· εἰ δέ τινες ἑκόντες ἀποδιδράσκοντες τοὺς παρ' ἐκείνῳ τῷ θεοσόφῳ ἐλέγχους, ἢ τὸ ἄμεινον τῆς κρίσεως παρωσάμενοι, ἐφ' ὧν οὐδ' ἂν αὐτὸς ὁ τοῦ ψεύδους πατὴρ κατὰ πάντα μωμεῖσθαι τὰ κάλλιστα σπουδὴν θέμενος ἀντιλέγων ὀφθείη, πρὸς φιλόνεικον μετατάττονται σύστημα, οὐκ ἀπαθῶς μὲν ἀλλ' ὅμως ὑποίσομεν, ἐκεῖνο ἑαυτοῖς ἐπιλέγοντες, ὡς εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμῖν οὐδαμῶς, ἀλλ' οὐδὲ ταῖς τοῦ θεοῦ ἐκκλησίαις τοῦτο συνήθεια. ὅθεν ἃ μόνα ἔστι ῥηθῆναί μοι, κατὰ τὸ ἀναγκαῖον εἰπὼν πρὸς ὑμᾶς ἐντεῦθεν ἤδη διαναπαύσω τὸν λόγον.

6. Οἱ τῷ τρισαγίῳ τὸ πάθος περισσεύοντες ὕμνῳ καὶ τῷ μεγάλῳ πατρὶ Ἰωάννῃ, ᾧ τὸ χρυσοῦν εἰς ἐπώνυμον στόμα, τὴν τοιαύτην ἐπιφημίζοντες βλάσφημον συνηγορίαν, ἐοίκασί μοι ἢ ἑαυτοὺς τὸ παράπαν ἐξαπατᾶν καὶ καθ' ἑαυτῶν παίζειν ἐπισφαλῶς, ἢ πρὸς μὴ νοῦν ἔχοντας οἴεσθαι τὰ τοιαῦτα προΐεσθαι. τίς γὰρ ἄν, προσερήσομαι τούτοις, ἀκριβέστερος τὰ τοιαῦτα γινώσκειν, καὶ τίνα καὶ ποῦ ταῦτα λαβεῖν εὑρόντα κατὰ τὸ ἀνόθευτον εὐπορώτερον; πότερον, παρ' οἷς γενέσθαι σὺν ἀληθείᾳ ἱστόρηται, ἢ παρ' οἷς ἐξ ἑτέρων τὸ μαθεῖν ἐξεγένετο; ἐγὼ μὲν οἶμαι παρ' οἷς γενέσθαι, κἂν μή τις ἄλλος συγκατατίθηται. ἀλλά, πρὸς τῆς ἀληθείας αὐτῆς, ἆρά γε ἱκανὸς ὑμῖν ὁ ταῦτα συγγράψας σχολαστικὸς Σωκράτης τὸ βέβαιον ἐμποιεῖν, ὡς παρ' ἡμῖν τὰ τοῦ θείου ᾄσματος πεπραγμάτευται, ἢ καὶ τούτῳ μετὰ τῶν ἄλλων ἐπηρεάζειν κατὰ πολλὴν ὑμῶν δόξειεν ἐξουσίαν; Θεοδοσίου γάρ, ᾗ φησιν οὗτος, τοῦ νέου τὰ τῆς βασιλείας ἰθύνοντος σκῆπτρα καὶ Πρόκλου τοῦ ἀοιδίμου τοὺς ἐκκλησιαστικοὺς μεταχειρίζοντος οἴακας, συνηνέχθη τὸ τοιοῦτο γενέσθαι ἐν τῷ Ἑβδόμῳ οὕτω καλουμένῳ πεδίῳ· ἐνοδίοις ποτὲ τοῦ πλήθους λιταῖς ἐξιλασκομένου τὸν εὐδιάλλακτον, ἀθρόον ἐκ τούτων οἷα τινὶ τυφῶνι παιδίον ἐπὶ πολὺ τοῦ ἀέρος, ὡς μηδὲ ὄψιν δυνατὴν ἐξικνεῖσθαι, μετεωρισθέν, εἶτα μετ' ὀλίγον αὖθις τοῖς περιγείοις ἀποκατασταθέν, ἀκοῦσαί τε τὸ μακάριον τοῦτο διήγγελλε μέλος καὶ τούτῳ τὸ θεῖον ἐξευμενίζεσθαι τὰς ἄνω χοροστασίας ἐντέλλεσθαι.

21/1 cf. Theoph. p. 93 Boor.

καὶ τὸν μὲν ὕμνον, ὡς νῦν καὶ παρ' ἡμῖν ᾄδεται, οὕτω κἀκεῖνος ἐκτίθεται· εἰ δέ τις παρενθήκη γεγένηται, ὑμᾶς δηλαδή, οὐχ ἑτέρους, εἰς τοὺς νοθεύοντας ἐπιγράφεται πατέρας. εἴ τις καὶ ἀποδεικτικώτερον χρῆσθαι τοῖς μετὰ χεῖρας, οὐκ ἀμάρτυρος, βέλτιστοι, ὁ θεῖος οὗτος αἶνος ἡμῖν, οὐδὲ τὸ καινὸν τῆς ἀπὸ τῶν θείων Γραφῶν μελέτης εἰς γένεσιν πάντοτε ὑποβαλλόμενος. ἀνείληπται δὲ τοῦ τεσσαρακοστοῦ πρώτου ψαλμοῦ, ἀφ' ὧν φασιν ὁ τῶν τοιούτων μελοποιός· "ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα". πρόδηλον δέ, ὡς εἴ τις τὸ "ζῶντα" εἰς τὸ "ἀθάνατον" μεταλάβοι, αὐτόθεν εὑρήσει τὸν ὕμνον ἀπαγγελλόμενον. κἂν μὲν μετὰ τῆς προσθήκης τοῦ πάθους ἡ τοῦ πνεύματος λύρα τὸ ᾆσμα τοῖς ὧδε κατέθετο, ἡμεῖς τε ἀνευρήσομεν καὶ πραγμάτων ἀπαλλαξόμεθα. εἰ δὲ τούτων οὐδὲν οὐδαμῶς, οὐκ ἂν ἐν δίκῃ καὶ ἑαυτοῖς τὸ νοθεύειν ἐπίβλημα καὶ ἡμῖν κόπους παρέχετε. διὸ αἰδεσθέντες τὸ "μὴ μέταιρε ὅρια αἰώνια" ἀπόσχεσθε τοῦ πρὸς τὴν εὐσέβειαν εἰς μάτην διαπληκτίζεσθαι καὶ πολλῷ πλέον τοῦ τὸν θεῖον παραλαμβάνειν Ἰωάννην συνίστορα· ὃν παιδευτὴν μὲν καὶ πολιοῦχον ἡ καθ' ἡμᾶς ἐκκλησία αὐχεῖ, οὐ μέντοι καὶ τῆς τοσαύτης ἐμπαθείας εἰς τὴν παροῦσαν ἐπὶ τῆς ἀπαθοῦς γεννήτορα φύσεως. ἀλλ' εἰ μέντοι ἐπὶ πολιτικοῖς συμβολαίοις ἀμφισβήτησις συνετελεῖτο, εἶτά τις νοθεύων ὑφωρᾶτο τῶν συμβολαίων τὰ γράμματα, οὐκ ἀποινὶ τῶν δικαστῶν ἀπηλλάττετο, καὶ ταῦτα εἰς μικρά τε καὶ περὶ μικρῶν ἀδικῶν· ἃ δὲ περὶ μεγάλων ἐπάγεται τὴν ζημίαν, ὡς εἰς τὸ σέβας φερόντων τὴν βλάβην καὶ τῇ ψυχῇ τὸν ὄλεθρον προξενούντων, ταῦτα νοθεύων τε καὶ παραποιῶν οἴει τὸν ἀλάθητον ὀφθαλμὸν διαδιδράσκειν, ἀλλ' οὐχὶ πολλῶν σκηπτῶν τὴν κακουργίαν ἐντρέπῃ ἀνταλλάξασθαι; παντὸς μάλιστά γε τοῦτο ἐρῶ.

7. Ἀλλ' οὐδὲ τοῦτο ὑμῶν ἐπαινέσομαι, τὸν τρισάγιον ὕμνον, ὃς τῷ ἐπὶ θρόνου καθημένῳ ὑψηλοῦ τε καὶ ἐπηρμένου ὑπὸ τῶν φρικτῶν ἐκπληκτικῶς Σεραφὶμ παρὰ τῷ διορατικωτάτῳ τῶν προφητῶν ἀνακράζεται Ἡσαΐᾳ, εἰς μόνον τὸ τῆς δόξης περιιστώντων

1 cod. ὑμῖν. 8 Psalm. XLI, 2. 14 νοθεῦον? 15 Prov. XXII, 28. 29 ἐπὶ θρόνου - - ἐπηρμένου] Es. VI, 1. 25 οἴει = οἴῃ. 30 cod. σεραφείμ.

ἀπαύγασμα, καὶ ταῦτα Γρηγορίου μὲν τοῦ θείου τὸν λόγον καὶ δὴ καὶ Ἀθανασίου τοῦ πολυάθλου ἐξ ἐκείνου τὸ τριττὸν ἐμπεδούντων τῶν περὶ τὴν θείαν φύσιν σεπτῶν ὑποστάσεων, εἰ μή που παρέργως ἀναγινώσκομεν τὸ "οὕτω μὲν οὖν τὰ ἅγια τῶν ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητά τε καὶ δύναμιν". τὸ γάρ τοι ἐξ Ἰωάννου τοῦ ἠγαπημένου λαμβάνειν τὰς ἀφορμὰς τῆς τοιαύτης ἐκλήψεως, δι' ὧν φησιν οὗτος, "ταῦτα εἶπεν Ἡσαΐας· ὅτε εἶδε τὴν δόξαν αὐτοῦ", συναρπάζοντός ἐστι τὸ ζητούμενον, ἀλλ' οὐκ ἐπερειδομένου ταῖς σοφαῖς ἀποδείξεσιν· οὐ γὰρ περὶ τοῦ υἱοῦ ἀποτεταγμένως ὁ λόγος ἐνταῦθα, ἀλλὰ περὶ τῆς θείας ἁπλῶς φύσεως. τί γὰρ "τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς ὁ θεὸς καὶ πεπώρωκε τὴν καρδίαν"; τοῦτο δὲ οὐκ ἰδιάζουσαν τοῦ υἱοῦ δόξαν ἐμφαίνει, εἰ μὴ κοινήν τε καὶ συνυπάρχουσαν ταῖς τρισὶν ἁγιαστικαῖς ἰδιότησι. μᾶλλον δὲ γνησιώτερον τὸ ῥητὸν ἐπισκέψασθαι εἰς τὸν πατέρα δοκῶ μοι τὰ τῆς ἐννοίας ἀναμφιλέκτως ἐπαναφέρεσθαι, οὗ δίχα τὴν πρὸς τὸν υἱὸν ἄφοδον οὐκ ἂν ὑπάξοι τινὶ ὁ σύμφυτος τούτῳ θεολογῶν ἀνεδίδαξεν, "οὐδένα" φάσκων "πρὸς αὐτὸν ἔρχεσθαι, μὴ τοῦ πατρὸς ἕλκοντος". ἀλλ' εἴπερ τοῦτο, ἐκεῖνον πάντως καὶ τὸ τῆς πωρώσεως μετὰ τοῦ τυφλοῦν αἰτιάσαιτο. εἰ δὲ τὸ "καθῆσθαι τὸν κύριον" ἐπὶ τὸν υἱὸν ὑμῖν ἔδοξε τὴν διάνοιαν παραπέμπειν, τῆς τοῦ θρόνου περιγραφῆς καὶ τοῦ τῆς καθέδρας σχηματισμοῦ τὴν ἐπ' ἐσχάτων τυχὸν παραδηλούντων ἐμφάνειαν, ἀλλ' ὥρα καὶ τὸν παρὰ τῷ Δανιὴλ παλαιὸν ἡμερῶν εἰς τὸν υἱὸν ὑμῖν προσλογίζεσθαι· οὗ τί ἂν εἴη ἀνοητότερον; ἀλλ' ἴσως ἐρεῖς· "τί δαὶ ὁ ὕμνος οὗτος ἀλλοτριοῖ τῆς ἁγιαστικῆς ὑμνολογίας τὸ πρόσλημμα"; ἀντερήσομαι πάλιν κἀγώ· τί δέ; εἰ μὴ τὴν ἀλλοτρίωσιν δίδωσιν, ἆρά γε καὶ πάθος διὰ τοῦτο τῷ ἀπαθεῖ καὶ τῷ ἀνωλέθρῳ προσμαρτυρήσεις τὸν ὄλεθρον; ὢ τῆς παρανοίας! πῶς γὰρ τὸν ἄρτι παρ' ὑμῶν ἀπαθῆ καὶ ἀθάνατον ἀνυμνούμενον ἐξ ὑπογυίου θνητότητι καὶ πάθει περιβάλλειν οὐκ ἐγκαλύπτεσθε; καὶ ὅτι μὲν τὸ πάθος δόξα τῷ σαρκωθέντι υἱῷ καὶ Παύλῳ

---

1 apogr. γρηγορίῳ μ. τῷ θείῳ. 2 apogr. ἀθανασίῳ τῷ πολυάθλῳ. 4 cod. ἀναγινώσκωμεν || Gregorii Theologi orat. xxxviii, § η'. 5 cod. σεραφίμ. 8 Iohan. xii, 41. 11/12 Iohan. xii, 40. 18/19 Iohan. vi, 44. 23 Daniel vii, 9.

τοῦτο δοκοῦν εἰς καύχημά τε καὶ σεμνολόγημα, οὐκ ἂν πάνυ διατειναίμην· ἀλλ' οὐκ, εἰ δόξα τῷ σαρκωθέντι, ἤδη καὶ γυμνῇ τοῦτο τῇ θεότητι προσαφθήσεται καὶ ὅτε μὴ τούτου μνησθῆναι καιρός· κατ' ἴσον γὰρ τοῦτο τοῦ καὶ τὸ πρόσλημμα συναναχθῆναι τῷ παντὶ δογματίζειν καὶ τῷ πατρί τε καὶ πνεύματι κατὰ τὸ εἶναι περιχωρεῖν καὶ συνεπεκτείνεσθαι, καὶ οὕτως μηκέτι τὸν υἱὸν μόνον τὸ πρὸς μίαν ἀνακραθῆναι φύσιν τὰς ἐνθεωρουμένας ἐν τῇ κατ' αὐτὸν οἰκονομίᾳ φύσεις ὑμῖν ἐξέστω ληρεῖν, ἀλλὰ καὶ τὸν πατέρα τε καὶ τὸ πνεῦμα εἰς τὴν αὐτὴν φύσιν συνάγειν· οὗπερ τὸ ἄτοπον, τῆς περὶ τὸν Χριστόν φημι ἀνακράσεως καὶ τῆς εἰς μιᾶς συναλοιφὴν φύσεως, εἰδείητε μὲν καὶ αὐτοὶ οἱ τὴν κατ' ἐνέργειαν ἤ τινα σχέσιν τῶν ἐν τῷ Χριστῷ φύσεων ἕνωσιν εἰς τὴν Νεστορίου λύσσαν ἀποπεμψάμενοι. καὶ εἰ τὸν πρόχειρον ὄλεθρον ἐκφυγόντες ἀτοπωτέρῳ περιηνέχθητε, ἐκ δύο μὲν φύσεων κατ' οὐσίαν τὸν θεάνθρωπον ὑφιστῶντες καὶ ἀσυγχύτους δῆθεν ἀνομολογοῦντες τὰς ἑκατέρων αὐτῶν ἰδιότητας, τῇ δὲ μιᾷ ὑποστάσει εἰς μίαν αὖθις σύνθετον φύσιν ἀνακιρνάντες καὶ φύροντες, ὡσπερεὶ δεδοικότες μὴ τὸ ἀκραιφνὲς τῶν ὀνομάτων μετὰ τῆς δυάδος τῶν φύσεων εἰς πρόσωπα τοσαῦτα τὸν ἕνα Χριστὸν διασπάσωσιν· εἰδείημεν δ' ἂν καὶ ἡμεῖς ἐνθεώτερόν τε καὶ εὐσεβέστερον καὶ δύο φύσεις ἀκαινοτομήτους ἐν τῷ Χριστῷ καταγγέλλοντες καὶ τῇ μιᾷ ταύτας μηδὲν ὑποστάσει λυμαίνεσθαι ὑφορώμενοι, ὡς τῆς τοῦ λόγου ὑπάρξεως ἐν ἑαυτῇ ἀτομούσης τὸ ἡμέτερον φύραμα, ἀλλ' οὐ τελείῳ προσώπῳ χαριζομένης τὴν ἑαυτῆς ἕνωσιν, καὶ μήτε τὴν παρὰ τῷ θείῳ Γρηγορίῳ μῖξιν εἰς φυρμὸν ὑποπτεύοντες (καινὴ γάρ), μήτε τὴν κρᾶσιν ὑποστελλόμενοι (παράδοξος γάρ), ἣ μὲν τῷ πρὸς ἀλλήλας ἀπαραποδίστως διαβιβάζειν τὰς ἑκατέρᾳ προσούσας καθ' ὅσον πεφύκασιν ἐνεργείας (ἐπὶ τὸ καινότερον γὰρ τοῦτο τῶν ἐνθεωρουμένων τῇ μίξει ἐξάγεται), ἣ δὲ τῷ μηδαμῶς φύρειν κἂν τῇ συνόδῳ τὰς ἰδιότητας τὸ παράδοξον ὑποδυομένη τῆς ἐν τῇ κράσει γνωριζομένης ἑτεροιώσεως. οὐ γὰρ ἐπ' ἀπωλείᾳ πάλιν ἐρῶ ἑαυτοῦ ἡ πρὸς ἡμᾶς τοῦ θεοῦ συγκατάβασις, ἀλλ' ἵνα καὶ τὸ τῆς

1 καύχημα] cf. Philip. iii, 3.   15 cod. ὑφ$^{ε}$ιστῶντες.   29 cod. κἄν.

φύσεως ἡμῶν ἀσθενὲς ὑπερηρεισμένον τῷ κρείττονι καταγωνίσηται τὸν ἀντίπαλον καὶ τὸ δεσπόζον τῆς ἑαυτοῦ δόξης μὴ ἐξιστάμενον ἀποχρῶσαν παρέχηται τῷ συμπλεκομένῳ βοήθειαν. τὸ γὰρ εἰς μίαν συμφύρειν τὸν θεάνθρωπον φύσιν πρὸς οἷς τῷ ἀλλοκότῳ τῆς δόξης ὑπάγεται, ἔτι καὶ ταῖς τοῦ Μανιχαίου μανίαις συμφθέγγεται καὶ πρὸς τὰς ἄλλας αἱρέσεις οὐκ ἀπηγόρευσεν. εἴτε γὰρ ὑπὸ τοῦ κρείττονος πλεονεκτηθείη τὸ ἧττον, θεὸς ὁ τὸ πάθος ἀνεχόμενος καὶ τὸν πολέμιον θριαμβεύων, οὐκ ἄνθρωπος· εἴτε τὸ θεῖον ὑπὸ τοῦ ἀνθρώπου ἐκνικηθείη, πρῶτον μὲν πῶς ῥανίς, ἢ ψακάς, ἢ σταγὼν βραχυτάτη — ἢ πῶς ἀξίως ἐρῶ; — τὸ ἀνεξάντλητον πέλαγος ἐκνικῴη; ἐπεί, τοῦ ὑπερβάλλοντος οὔμενουν ὅσον εἰπεῖν τῷ καταδεεῖ ὑβριζομένου, αὐτὸ μὲν ἀνάγκη σμικρύνεσθαι, ὑποβαίνειν τε τῷ ἀτιμοτέρῳ τὸ τίμιον καὶ τῷ ἑδραζομένῳ τὸ ἑδραιοῦν καὶ τῇ οὐσίᾳ τὸ ὑπερούσιον, ὃ καὶ ἀμήχανον καὶ πρὸς ἀμφίκρημνον τοὺς ἑπομένους ἀπωθούμενον ὄλεθρον, ἢ διὰ τὴν ὑπόβασιν τὸ σῷζον ἢ διὰ τὴν πλεονεξίαν τὸ σῳζόμενον διαφθείροντας. οὗ τί ἂν ἀτοπώτερον εἴη; εἰ δὲ ἰσότητι τῆς κατ' αὐτὰ φύσεως ἀλλήλοις ἐπιδοίη τὰ εἰς ἑτέρας φύσεως γένεσιν ἀθροιζόμενα, οὐκέτι μὲν σῴζοιτο εἰλικρινεῖ λόγῳ ἑκατέραις τὰ ἰδιώματα, ἀλλὰ πρὸς ἕτερόν τι μεταχωρήσει τῷ τρόπῳ τῆς ἀντιπεπονθήσεως, καθὸ καὶ πάθος τῇ ἀπαθεῖ φύσει προσνεμηθείη, καὶ πρὸς ἑαυτοὺς ἀπομάχεσθαι τοὺς τῶν τοιούτων ἐπιβόλους ἀπελέγξει δογμάτων, πῇ μὲν ἀπαθὲς ὑποτιθεμένων τὸ θεῖον καὶ σῴζειν κἂν τῇ κατὰ Χριστὸν συνελεύσει τὸ τῶν ἰδιωμάτων ἀκήρατον, πῇ δὲ παθητὸν τῇ πρὸς τὸν ἄνθρωπον συνανακράσει καὶ φύρσει καὶ πρὸς ἀλλοιότερον ἑαυτοῦ μεταγίνεσθαι. ὁ μὲν οὖν λόγος ἐπὶ τοσοῦτον καὶ τάχα ἂν τὸ περιττὸν καὶ πλέον ἤπερ ἐχρῆν.

8. Ἂν μὲν οὖν ὧν ὑμεῖς τε ᾐτήσατε, εἰ μὴ κατεσχηματισμένως εἰς φλυαριῶν ἀνεύρεσιν ἀφορμήν, ἡμεῖς τε ἠλπίσαμέν τι ἐκβαίη, χάρις θεῷ μὲν τῆς τῶν σωτηρίων ἡμῖν χορηγίας ἐν τῷ παρ' ἡμῶν τοῦ διδασκαλικοῦ λόγου σοφῷ ῥεύματι, ὑμῖν δὲ τῆς φιληκοΐας καὶ εὐπειθείας· εἰ δὲ μηδὲν ἐκ τούτου τῶν βελτιόνων ἐκπορισθείη, ἐμοὶ μὲν ὅσα ἐμὲ σπουδάζειν οὐδὲν καθυστέρηται ἴσως. ὅμως οὐκ ἐπιζήμιον παροραθέντας μετὰ τῶν ἄλλων καὶ

ἡμᾶς θείων πατέρων τετάχθαι, οἷς σπουδὴ μὲν καὶ αὐτοῖς τῶν ἀπολλυμένων φροντίζουσι πολλὰ καὶ μετὰ τὸν βίον καταλείπειν χρηστὰ φάρμακα, ἀπήντησε δὲ τῶν προσδοκωμένων οὐδέν, εἰς πέτρας τὸ τοῦ ἐμοῦ Ἰησοῦ σπείρουσι καὶ λίθους ἠγνοηκόσιν ὡς ἕψουσι καὶ χύτραν ποικίλλουσι, τὸ τῆς θύραθεν παροιμίας εὔκαιρον φθέγξασθαι.

2 cod. καταλίπειν. 4 Matth. xiii, 3, 20, 21. Marc. iv, 5, 16, 17. Luc. viii, 5, 13 || λίθους ἕψουσι] Corpus paroem. II, p. 185, n° 63. 5 χύτραν ποικίλλουσι] Corpus paroem. II, p. 91 et 729.

# INDEX NOMINUM.

# СБОРНИКЪ

## ГРЕЧЕСКИХЪ и ЛАТИНСКИХЪ ПАМЯТНИКОВЪ

## КАСАЮЩИХСЯ ФОТІЯ ПАТРІАРХА

ИЗДАЛЪ

А. ПАПАДОПУЛО-КЕРАМЕВСЪ

ВТОРОЙ ВЫПУСКЪ

С.-ПЕТЕРБУРГЪ
Типографія В. Киршбаума, Дворц. площ., д. М-ва Финансовъ
1901

# СБОРНИКЪ

## ГРЕЧЕСКИХЪ и ЛАТИНСКИХЪ ПАМЯТНИКОВЪ

## КАСАЮЩИХСЯ ФОТІЯ ПАТРІАРХА

ИЗДАЛЪ

А. ПАПАДОПУЛО-КЕРАМЕВСЪ

ВТОРОЙ ВЫПУСКЪ

С.-ПЕТЕРБУРГЪ

Типографія В. Киршбаума, Дворц. площ., д. М-ва Финансовъ

1901


BIBLIOTHECA APOSTOLICA VATICANA

# MONUMENTA

## GRAECA ET LATINA AD HISTORIAM

# PHOTII PATRIARCHAE

## PERTINENTIA

EDIDIT

A. PAPADOPULOS-KERAMEUS

II

PETROPOLI

Typis V. Kirschbaum

1901

Печатается по опредѣленію Историко-филологическаго факультета Императорскаго С.-Петербургскаго Университета. 24 Марта 1901 г.

Деканъ *С. Платоновъ*.

# ПРЕДИСЛОВІЕ.

Издаваемый здѣсь впервые новый текстъ о жизни преподобнаго Іосифа Пѣснописца взятъ изъ единственнаго доселѣ извѣстнаго списка, содержащагося въ греческомъ кодексѣ XII вѣка подъ № 1534 въ Fonds ancien Парижской Національной библіотеки (л. 67—77) [1]. Текстъ этотъ по нашей просьбѣ былъ переписанъ и дважды въ Парижѣ сличенъ съ оригинальнымъ спискомъ однимъ почтеннымъ и ученымъ другомъ.

Авторомъ нашего текста по его заглавной надписи является Өеофанъ, монахъ-пресвитеръ (т. е. іеромонахъ) и игуменъ того монастыря, который основалъ преподобный Іосифъ въ Константинополѣ, возлѣ храма святаго Іоанна Златоустаго. Вѣроятно, что этотъ монастырь, если при этомъ обратить вниманіе на ученость Іосифа и на сицилійское его происхожденіе, былъ нѣкоторымъ образомъ и школою пѣснописанія и гостинницею для прибывавшихъ изъ Сициліи въ Константинополь паломниковъ.

Въ число учениковъ Іосифа вошелъ съ малыхъ лѣтъ и названный выше Өеофанъ. Въ первой главѣ жизнеописанія Іосифа Өеофанъ упоминаетъ о томъ, что онъ по собственному опыту знаетъ добродѣтели Іосифа, такъ

[1] Catalogus codicum hagiographicorum Graecorum bibliothecae Nationalis. Bruxellis 1896, стр. 231.

какъ онъ учился у него съ дѣтства; во ~~второй~~ 11ой главѣ говоритъ онъ также, что Іосифъ съ дѣтскаго возраста зачислилъ его въ число своихъ учениковъ въ монастырѣ, гдѣ и постригъ его въ монашество. Отсюда повидимому слѣдуетъ, что и Ѳеофанъ послѣдовалъ примѣру своего учителя, сдѣлавшись пѣснописцемъ, а потому онъ одинъ и можетъ быть отожествленъ съ пѣснописцемъ Ѳеофаномъ Сицилійскимъ, котораго одна служба со стихирами и канономъ святому Вириллу, епископу Катанскому, находится въ кодексѣ X вѣка (подъ № 553 въ Петербургской Императорской Публичной Библіотекѣ) [1]. Этотъ же самый Ѳеофанъ можетъ быть вѣроятно отожествленъ и съ тѣмъ Ѳеофаномъ монашествующимъ (μονάζοντι), на имя котораго сохранилось до насъ одно посланіе патріарха Фотія. Въ этомъ посланіи говорится о нѣкоемъ еретикѣ, т. е. иконоборцѣ, который былъ назначенъ хартуларіемъ тамъ, гдѣ пребывалъ Ѳеофанъ. Патріархъ Фотій, пользуясь этимъ обстоятельствомъ, восклицаетъ въ своемъ посланіи къ Ѳеофану, что «пресловутой Сициліи пришла гибель» (τῆς περιβοήτου Σικελίας ἔφθασεν ὁ ὄλεθρος) [2]. Если можно не сомнѣваться въ тожествѣ этого Ѳеофана съ одноименнымъ ему пѣснописцемъ монастыря Іосифа, то тогда конечно вышеупомянутое выраженіе Фотія образно и, должно быть, въ сжатой формѣ обозначаетъ просто сицилійскій въ Константинополѣ монастырь, тѣмъ болѣе, что послѣднимъ управлялъ Ѳеофанъ въ качествѣ игумена съ 883-го года.

Наконецъ, біографъ Іосифа, Ѳеофанъ говоритъ и о самомъ себѣ въ 14-й главѣ своего сочиненія. Онъ разсказываетъ тамъ, что при патріаршествѣ Фотія (878—886) Іосифъ пѣснописецъ, который исполнялъ должность

[1] Смотри нашу статью: Θεοφάνης Σικελός въ Byzantinische Zeitschrift, т. IX, стр. 370—378.

[2] Φωτίου ἐπιστολαί, изд. Валетты, стр. 429—431.

ризничаго храма Св. Софіи, предчувствовавъ приближеніе своей смерти, рѣшилъ немедленно передать патріарху ризницу передъ своею кончиною, согласно находящемуся у него въ рукахъ оффиціальному списку ея и такимъ образомъ съ чистою совѣстью отойти ко Господу. Это свое рѣшеніе онъ дѣйствительно и исполнилъ во время Великаго Сорокадневнаго Поста, незадолго до своей смерти, а именно около конца Марта 883-го года. Итакъ, представляя патріарху Фотію ризничную книгу, Іосифъ привелъ съ собою и возлюбленнаго ученика своего Ѳеофана, что безъ сомнѣнія обозначало, что Іосифъ этимъ желалъ указать патріарху на Ѳеофана, какъ на преемника своего въ игуменствѣ своего монастыря.

Дѣйствительно, по смерти Іосифа Ѳеофанъ сдѣлался непосредственнымъ его преемникомъ въ его монастырѣ (см. § 16), и потому онъ какъ рукоположеніемъ своимъ въ санъ священника, такъ и назначеніемъ на должность игумена былъ обязанъ патріарху Фотію, о которомъ онъ и упоминаетъ дважды въ жизнеописаніи преподобнаго Іосифа съ особеннымъ уваженіемъ, какъ о мужѣ, обладающемъ вѣрнымъ сужденіемъ и ученомъ, какъ объ іерархѣ, просвѣщенномъ отъ Бога, даже какъ о святомъ (см. § 12 и 14). А такъ какъ онъ упоминаетъ о патріархѣ Фотіи, какъ о покойномъ, то можно отсюда заключить, что Ѳеофанъ записки свои объ Іосифѣ составилъ очевидно послѣ смерти Фотія, т. е. послѣ 897 года [1].

Особенно послѣдняя глава этихъ записокъ у читателя оставляетъ такое впечатлѣніе, что Ѳеофанъ, оканчивая свой трудъ о жизни преподобнаго Іосифа, находился подъ вліяніемъ важныхъ церковныхъ вопросовъ, которые съ 898 года подготовлялись къ рѣшенію. Въ этомъ именно

[1] О смерти патріарха Фотія именно въ этомъ году см. нашу статью въ Byzant. Zeitschrift, т. VIII, стр. 649.

мѣстѣ своего труда Ѳеофанъ проситъ преподобнаго Іосифа, чтобы онъ молился Христу о прекращеніи смутъ и о мирной впредь жизни Церкви; далѣе онъ сильно ударяетъ на то, чтобы Іосифъ собственными мольбами упросилъ Христа, дабы православная вѣра навсегда сохранялась неповрежденной. Очевидно, здѣсь Ѳеофанъ имѣетъ въ виду смуты, происшедшія съ 891 года при папѣ Формозѣ, а также расколъ, вызванный изъ-за нихъ между Римскою и Византійскою Церквами, и наконецъ горячій споръ объ исхожденіи Св. Духа отъ Отца и Сына, каковое нововведеніе Византійская Церковь считала еретическимъ и антиканоническимъ. Эти волненія между двумя Церквами были улажены въ Константинополѣ посредствомъ собора, состоявшагося при патріархѣ Антоніи и папѣ Іоаннѣ IX. Хотя мы и не имѣемъ точныхъ и опредѣленныхъ свидѣтельствъ объ условіяхъ, на которыхъ состоялось тогда соединеніе Церквей [1], но несомнѣнно то, что соборъ 899—900 или 900—901 годовъ имѣлъ своею цѣлью восполнить и подтвердить акты VIII Вселенскаго собора, бывшаго въ 879—880 гг. Итакъ житіе преподобнаго Іосифа Ѳеофанъ по всей вѣроятности писалъ между приготовленіями и началомъ собора, т. е. между 898—899 годами.

Этимъ жизнеописаніемъ преподобнаго Іосифа, составленнымъ Ѳеофаномъ, воспользовался другой біографъ Іосифа, нѣкій Іоаннъ, риторъ и діаконъ Великой Константинопольской Церкви, жившій въ неизвѣстное время, но во всякомъ случаѣ онъ жилъ позже X-го вѣка и не позже XII-го, такъ какъ трудъ его о преподобномъ Іосифѣ сохранился уже въ кодексѣ XIII-го вѣка [2], изъ котораго и изданъ

---

[1] Объ этомъ соборѣ см. тамъ же, стр. 651—652.

[2] Catalogus codicum hagiographicorum graecorum bibliothecae Vaticanae. Bruxellis 1899, стр. 8, № 825.

God. Henchen'омъ [1], со сличеніемъ съ другимъ еще кодексомъ, относящимся къ неизвѣстному времени. Этотъ Іоаннъ въ житіи преподобнаго Іосифа говоритъ слѣдующее о нашемъ Өеофанѣ: Θεοφάνει μὲν οὖν τινι, τοῦ ἱεροῦ πρεσβυτερίου ἠξιωμένῳ καὶ τῷ καταλόγῳ ἠριθμημένῳ τῶν μοναχῶν, ὁ βίος τοῦδε τοῦ μακαρίου πεπόνηται· οὐ μὴν ἀλλὰ παρέδραμεν τοῦτον πολλά, ὅτι κατὰ σπουδὴν ἐκείνῳ συνεξυφάνθη τὸ πόνημα· ἀμέλει καὶ οἷς ἐκεῖνος τοῦ μάκαρος τοῦδε τὸν βίον ἐσμίκρυνεν, ἐν τούτοις ἡμᾶς ἐπὶ τὸ εὖρος τῆς διηγήσεως προεβίβασεν. («Нѣкіимъ Өеофаномъ, священнаго сана пресвитера удостоеннымъ и въ спискѣ монаховъ зачисленнымъ, составлено житіе сего блаженнаго (т. е. Іосифа); многое однако имъ недосказано, по причинѣ того, что трудъ былъ имъ написанъ съ большою поспѣшностью; но, безъ сомнѣнія, это-то, что тотъ умалилъ житіе блаженнаго, и поощрило насъ къ расширенію нашего разсказа»).

Ясно изъ этихъ словъ, что Іоаннъ въ основу своего сочиненія положилъ нынѣ издаваемый нами трудъ Өеофана и дополнилъ его тѣми свѣдѣніями о преподобномъ Іосифѣ, каковыя тотъ упустилъ написать. Дѣйствительно, Іоаннъ шагъ за шагомъ слѣдуетъ за Өеофановскими записками, заимствуя изъ нихъ иногда и цѣлыя выраженія, которыя онъ развиваетъ разными подробностями; другими словами, Іоаннъ передаетъ и объясняетъ трудъ Өеофана въ риторико-панегирическомъ стилѣ съ цѣлью возвеличить славу преподобнаго Іосифа. Къ сожалѣнію, цѣль эта заставила Іоанна нарушить подлинную хронологію Өеофана и для возвеличенія Іосифа создать такіе эпизоды изъ его жизни, которые не могутъ быть подтверждены какимъ-нибудь другимъ источникомъ IX или X вв. Напротивъ того, приводимые Іоанномъ случаи изъ жизни Іосифа опроверга-

[1] Acta Sanctorum, April. I, стр. XXXIV — XLI. Migne, Patrol. graec. т. 105, стр. 939 — 976.

ются самимъ же Өеофаномъ, который для него служилъ главнымъ и прямымъ источникомъ. Вотъ почему теперь, когда уже былъ найденъ этотъ источникъ, все, что разсказывается историками, начиная съ XVII в. о преп. Іосифѣ по отношенію къ церковной исторіи IX в. при помощи одного лишь труда Іоанна, должно получить другую, настоящую историческую окраску, основанную на трудѣ Өеофана.

Сочиненіемъ Өеофана пользовался также и первый составитель краткихъ житій святыхъ церковнаго года (т. е. Пролога), такъ какъ глава его о преп. Іосифѣ основана прямо на текстѣ Өеофановомъ и даже составлена изъ подобранныхъ отсюда выраженій. Такимъ образомъ, здѣсь въ немногихъ словахъ изложено все сочиненіе Өеофана. Къ сожалѣнію, и этотъ конспектъ не остался безъ поддѣлки со стороны позднѣйшихъ редакторовъ, какъ это видно изъ списковъ краткихъ греческихъ и славянскихъ синаксаріевъ, извѣстныхъ намъ съ XIII вѣка. Одно такое краткое греческое изложеніе было уже издано Henchen'омъ [1], второе же находится въ печатныхъ греческихъ служебныхъ минеи [2], а другое было переведено на новогреческій языкъ Никодимомъ Святогорцемъ [3]. Нынѣ мы приводимъ въ концѣ настоящаго выпуска четвертое краткое изложеніе, взятое нами изъ имѣющагося у насъ кодекса XV в., въ которомъ содержится краткій литургическій Синаксаристъ (т. е. Прологъ) за 2-е полугодіе. Это краткое изложеніе мы раздѣлили на 7 главъ. 1-я, 2-я и 3-я главы вытекаютъ прямо изъ текста Өеофанова. Тоже можно сказать и о началѣ 4-й главы; но остальная часть послѣдней несогласна ни съ текстомъ Өеофана, ни съ текстомъ Іоанна.

---

[1] См. Migne, Patrolog. gr. т. 105, стр. 931—934.

[2] Μηναῖον τοῦ 'Απριλίου. Βενετία 1890, стр. 11—12.

[3] Νικοδήμου 'Αγιορείτου Συναξαριστής, изд. Филадельфея, т. II, стр. 73.

Такимъ образомъ — это вставка, сдѣланная позднѣе названныхъ двухъ писателей. Что касается до 6-й главы, то и она получается прямо изъ текста сочиненія Ѳеофана (срвн. § 12). Впрочемъ, по отношенію къ кесарю Вардѣ здѣсь замѣчается явная, а можетъ быть и умышленная вставка, заключающаяся въ словахъ: καλῶς γε τοῦτον διελεγξάμενος, ἀλλ' εὐθὺς ἀνακληθείς, которая въ томъ видѣ, какъ она выражена, не согласуется съ ходомъ мысли ни Ѳеофана, ни Іоанна, который къ тому же и совершенно не знаетъ Варды.

Наконецъ, 6-я глава представляетъ собою явную уже, совершенно позднѣйшую вставку. Дѣло въ томъ, что по мѣсту своего нахожденія глава эта по отношенію къ предыдущимъ главамъ представляетъ собою полный анахронизмъ, причемъ въ ней содержится такой разсказъ объ изгнаніи въ Херсонъ преп. Іосифа, который, на основаніи текста Ѳеофана, оказывается ложнымъ. Правда, разсказъ этотъ можетъ быть подтвержденъ 28-ю главою сочиненія Іоанна[1], хотя послѣднимъ Херсонъ здѣсь не упоминается. Но при этомъ нужно замѣтить, что и самъ Іоаннъ въ этой главѣ намѣренно поддѣлалъ соотвѣтственную главу сочиненія Ѳеофана, а именно 12-ю. По словамъ Ѳеофана, изгнаніе Іосифа въ Херсонъ было дѣломъ Варды, между тѣмъ, слѣдующій Ѳеофану и копирующій его Іоаннъ, умалчивая о Вардѣ, выставляетъ Іосифа изгнаннымъ при императорѣ Ѳеофилѣ съ тою цѣлью, чтобы показать, что Іосифъ дважды былъ изгнанъ и пострадалъ за возстановленіе въ церквахъ иконъ. Такимъ образомъ, Іоаннъ очевидно старается возвеличить славу Іосифа, какъ преподобнаго исповѣдника, не обращая вниманія на то, что этимъ самымъ нарушается какъ хронологія, такъ и историческая правдивость писателя, которымъ онъ поль-

---

[1] Migne т. 105, стр. 968.

зовался въ качествѣ главнаго источника. Такъ, вставка въ сокращенномъ синаксаріи (§ 6) составлена въ сущности подъ вліяніемъ текста Іоанна, но вмѣстѣ съ тѣмъ со знаніемъ подлиннаго сократителя сочиненія Ѳеофана, каковой сократитель упоминалъ поименно городъ Херсонъ и самъ нѣкоторымъ образомъ дополняетъ разсказъ Іоанна.

Седьмая и послѣдняя глава краткаго синаксарія является очевидною вставкой, такъ какъ разсказываемое въ ней чудо неизвѣстно ни Ѳеофану, ни Іоанну.

Изъ всего сказаннаго нами о сокращенномъ синаксаріи видно, что часть синаксарія до начала 4-й его главы и почти вся 5-я глава его вытекаетъ прямо изъ труда Ѳеофана. Шестая же и 7-я главы, а также большая часть 5-й главы заимствованы изъ другаго какого-нибудь мѣста, но при условіяхъ, исключающихъ возможность придавать какую-либо вѣру разсказанному въ нихъ. Въ окончательномъ выводѣ изъ всего сказаннаго нами получается, что краткій синаксарій поддѣланъ для того только, чтобы возвеличить святость преподобнаго Іосифа въ большей степени, чѣмъ это сдѣлано первымъ его жизнеописателемъ.

**А. П.-К.**

Февраль, 1901 г.

Μηνὶ τῷ αὐτῷ (= Ἀπριλίῳ) εἰς τὰς γ΄.

## ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ,

πρότερον μὲν μοναχοῦ καὶ πρεσβυτέρου γεγονότος, ἔπειτα δὲ καὶ τῶν ἱερῶν καὶ ὑπερτίμων σκευῶν τῆς τοῦ θεοῦ Μεγάλης Ἐκκλησίας φύλαξ προχειρίζεται παρὰ Βασιλείου ἄνακτος· συγγραφεὶς παρὰ Θεοφάνους μοναχοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῆς αὐτοῦ μονῆς.

1. Πολλῶν τῶν ἐν ποικίλοις διαλαμψάντων πλεονεκτήμασι, μαθητῶν φημι τοῦ Λόγου καὶ προφητῶν, τῶν τε πόνοις ἠριστευκότων ἀθλητικοῖς καὶ ἀγῶσιν ἀσκητικοῖς ἐπὶ μέγα διαπρεψάντων τὰ κατορθώματά τε καὶ προτερήματα ὑμνῳδίαις καὶ ᾄσμασιν ὁ θεῖος οὗτος καὶ ἱερώτατος Ἰωσὴφ ἐξυμνήσας, καὶ δι᾽ αὐτῶν εἰς θεὸν τὴν τῶν ὕμνων ἀναπέμψας προσαγωγήν, παρ᾽ οὗ τὸ κράτος αὐτοῖς καὶ ἡ τῆς ἀγαθοεργίας περιουσία, πάρεστιν καὶ οὗτος νυνὶ τὴν ἰσόρροπον ἀμοιβὴν ἐκζητῶν παρ᾽ ἡμῶν καὶ τὸν τῶν ἀρετῶν αὐτοῦ προτείνων ἐσμὸν εἰς ἐμφάνειαν· παντὸς γὰρ ἁγιοπρεποῦς τάγματος τὸν βίον, τοὺς τρόπους, τὰ ἔργα, τὴν ἄσκησιν ἀνιχνεύων, ὤφθη τούτων διάπυρος ζηλωτὴς ὁ μακάριος, οὓς ἐξύμνει πόθῳ καὶ οὓς ἀνευφήμει λόγοις ἔργοις ἀπομιμούμενος, τῶν καλῶν ὑποδεικνύειν γεωργὸν ἀξιόχρεων. ἀλλὰ τίς λόγος τὸν τούτου βίον διεξιέναι δυνήσεται κατὰ χρέος; ποῖος δὲ καὶ νοῦς τὰ ἐκείνου προ-

5 φύλαξ προχειρίζεται] sic codex. 10 cod. ἐπιμέγα. 19/20 ὑποδεικνύειν codex; an ὑποδεικνύων ⟨ἑαυτὸν⟩? 21 cod. καταχρέως.

τερήματα ὑπ' ὄψιν τοῖς φιληκόοις ἐνέγκοι; τὴν ἐκείνου μελισταγῆ καὶ ἡδυτάτην γλῶσσαν εὐπορεῖν ηὐξάμην ἄν, ὥστε μετ' εὐκρινείας τὸν πλοῦτον τῶν αὐτοῦ παραστῆσαι καλῶν καὶ μὴ πόῤῥω τοῦ δέοντος φωραθῆναι τῇ γραφῇ χρώμενος. πλήν, καθ' ὅσον οἷόν τέ μοί ἐστιν, ἁπλῇ τινι καὶ ἀκατασκεύῳ φράσει πρὸς τὸ ἔργον ἀποδύσασθαι κατεθάῤῥησα, ταῖς αὐτοῦ πεποιθὼς πρὸς τὸ θεῖον ἐντεύξεσιν, ὡς εἶναι τοῖς ἐντευξομένοις τὰ κατ' αὐτὸν πρὸς ὠφέλειαν. ἐπεὶ οὖν τὰ τούτῳ προσόντα τῶν ἀρετῶν γεώργια δῆλά μοι καθεστήκει, ὡς αὐτῷ μαθητιῶντι παιδόθεν, ἄλλα τε πρὸς πλειόνων τῶν ἀκριβέστερον εἰδότων εἰς ἐμὴν ἐλήλυθε γνῶσιν, ἀρχὴν θεῖναι τῷ λόγῳ πρεπωδέστατον ἔκρινα, ἣν καὶ ἡ τῶν πραγμάτων φύσις καὶ οἱ περὶ ταῦτα κομψῶς ἔχοντες τάττειν θεσπίζουσιν, εἰ καὶ τούτων ἐγὼ μακράν που διῴκισμαι καὶ τὸ σῶμα νόσοις περιστοιχιζόμενος ἀνηκέστοις καὶ αὐτὴν ναρκῶσαν τὴν γλῶσσαν καὶ οὐκ εὔλαλον κέκτημαι.

2. Τὸ περιφανὲς καὶ περίδοξον Σικελίας ἔδαφος τούτῳ τῷ ἀοιδίμῳ καὶ μακαρίῳ Ἰωσὴφ τροφὸς καὶ πατρὶς ἐτύγχανεν, μᾶλλον δὲ μία τις τῶν ἐκεῖ πόλεων τοῦτον οἷά τινα περίδοξον ἐξέφυσεν ὄρπηκα, πολλοὺς μὲν καὶ ἄλλους ἐπὶ λόγῳ καὶ μεγαλοφυΐᾳ γνωρίμους ἐνέγκασα, γεωργήσασα δὲ καὶ τοῦτον τὸ εὐφυὲς εἰς ἔνδειξιν τῆς ἀληθείας ἐπιδεικνύντα. γεννήτορες δὲ Πλωτῖνος καὶ Ἀγάθη, ὁ μὲν πλουτῶν τῷ βλαστήματι, ἡ δὲ ταῖς γλυκείαις ᾠδῖσιν εὐδαιμονοῦσα· τοιοῦτοι γὰρ τῷ ὄντι καὶ οὗτοι πεφήνασι, σεμνότητι διαλάμποντες, οἵ γε δὴ τὸν μακάριον τοῦτον οὐ τροφαῖς ἐξέτρεφον φθειρομέναις μόνον, ἀλλὰ καὶ ἱεροῖς ἐπαιδοτρίβουν μαθήμασιν. ὃς παιδόθεν φέρων τὸ εὐφυὲς τοῖς λόγοις προέκοπτε, τῇ τε ἀναγνώσει χρώμενος εὐφυῶς καὶ τῇ γραφῇ τὸ θαρσαλέον ἐπιδεικνύς. οἷς οὕτως αὐξανομένου καὶ καλὴν τὴν ἐπίδοσιν ἐπ' ἀγαθοῖς τεκμηρίοις χαρακτηρίζοντος, ἐλεεινὸν τῇ πόλει δυστύχημα συνεκύρησεν· ἥλω γὰρ χερσὶ Βαρβάρων καὶ πολλῶν πλειόνων δὲ δοριαλώτων ἀποφανθέντων, οὗτος ὁ τίμιος καὶ ἱερὸς Ἰωσὴφ σὺν

1 cod. ὑπόψιν. 4 cod. καθόσον 5 cod. μοιέστὶν. 6 cod. πεποιθῶς. 9 cod. καθεστήκοι - - ἀλλάτε. 13 cod. ἐγῶ. 17 cod. ἀοιδήμῳ || τρόφος. 21 cod. γεννήτωρες. 27 cod. θαρσαλαῖον.

τοῖς τεκοῦσι καὶ ἀδελφοῖς ἀποδρὰς τῆς ἐκείνων μείζων ἐγεγόνει ἐπικρατείας· ὧν πρὸς τὴν Πέλοπος γῆν ἀναχθέντων θεῷ τὰ τῆς σωτηρίας ἀνέφερον χαριστήρια, ὃς οἶδεν μόνος εὐσεβεῖς κινδύνων λυτροῦσθαι καὶ φυλάττειν ἐκ πειρασμῶν ἀπαθεῖς.

3. Τί οὖν ὁ θαυμάσιος οὗτος Ἰωσήφ; οὐ γεννητόρων προὐτίμησε φίλτρον· οὐκ ἀδελφῶν στοργὴν τῆς θεοῦ προέκρινεν ἀγαπήσεως· οὐχ ὑπέμεινε βιωτικαῖς χρανθῆναι κηλῖσιν· οὐ τὸν ἐν μέσῳ χυδαῖον ἐπανείλετο βίον. πάντα γὰρ ταῦτα παρ' οὐδὲν θέμενος, οἷς ἡ φύσις φιλοστοργότερον διακεῖσθαι εἰώθει, πρὸς τὴν τῶν ἄλλων προκαθημένην Θεσσαλίας πόλιν Θεσσαλονίκην ἐπάνεισιν, οὔπω μὲν τοῖς ἰούλοις τὴν ὄψιν φέρων σκιαζομένην (χρόνον γὰρ πεντεκαιδέκατον ἤνυε), φρόνημα δὲ δεικνὺς γηραιὸν καὶ οὐ τῶν ῥεόντων, ἀλλὰ τῶν ἀεὶ διαμενόντων ἐπωδίνων τὸν ἔρωτα. παρίστησι δὲ τοῦτο ὁ μακάριος δι' ἔργου καὶ σαλπίζει τὸ πρακτέον μεγαλοφωνότατα· ἀποκείρεται γὰρ πρὸς ἀνδρὸς εὐλαβοῦς τὴν κόμην, ὃς φροντιστηρίου προβεβλημένος κατῆρχε καὶ τῆς ποίμνης ἐπιστημόνως μετεχειρίζετο τὸ πηδάλιον. καὶ τότε ἀποκαρεὶς ἐν ἀτελεῖ σώματι τὰ τῶν τελείων ἆθλα μετήρχετο, ὥστε καὶ τὸν ποιμένα θαυμάζειν καὶ τοὺς φοιτητάς, καίτοι τοῖς ἀγῶσι προγυμνασθέντας, συγκαταπλήττεσθαι. ἐχρῆτο γὰρ νηστείαις τὴν φύσιν ὑπερβαλλούσαις καὶ ὑπόδειγμα τοῖς ὁρῶσιν ἐγκαθιστάμενος καλόν· οὐ γὰρ κλίνη τις αὐτῷ κατωνόμαστο, οὐ μαλακή τις στρωμνή, οὐ σῖτα τὴν ὄψιν καταγοητεύοντα καὶ τὸν φάρυγγα καθηδύνοντα, οὐχὶ τῷ ἀνθηρῷ περιεργαζόμενος χρώματι καὶ τῷ λείῳ θρύψιν ἐναποτίκτων· κλίνη γὰρ τούτῳ τὸ ἔδαφος ἦν, κωδίοις μικροῖς καὶ εὐτελέσι καλυπτόμενον, χιτὼν ἀφελὴς καὶ τὸ τραχὺ φέρων ὡς περιφάνειαν, τροφὴ δὲ ἄρτος μόνος στηρίζων καὶ τὴν ἐκείνου συνέχων ζωήν, καὶ ποτὸν ὕδωρ νηφάλιον ἀεὶ καὶ ψυχὴν πιαῖνον ἢ πρὸς ἀτόπους ἐκτροπὰς ἐφελκόμενον· ἐφ' οἷς ἡ στάσις παννύχιος, ἡ γονάτων κατάκλισις συνεχὴς καὶ τοσαύτη νύκτωρ καὶ μεθ' ἡμέραν, ὅση τις οὐδ' ἀριθμῷ ὑποπίπτουσα. οἱ ὕμνοι ἐν τῷ τοῦ-

2 ὧν - - ἀναχθέντων pro οἳ - - ἀναχθέντες. 6 cod. στοργῆν. 10 cod. προκαθεμένην. 14 cod. διέργου. 20 cod. ἔχρητο. 29 cod. ἢ] ἡ. 30 cod. κατάκλησις. 31 cod. τίς.

*

του στόματι καὶ ἡ τοῦ θεοῦ διὰ παντὸς αἴνεσις, τὸ δάκρυον ἀεὶ τῶν βλεφάρων ἀποχεόμενον καὶ τοῦτον καταλευκαῖνον ὁσημέραι. ἔργον αὐτῷ πρὸς τούτοις ἡ τῶν θείων Γραφῶν μελέτη καὶ ἡ τούτων γραφὴ καὶ συνεχὴς προσοχὴ καὶ τῶν θείων ἐντολῶν ἐκπλήρωσις, ὡς ἐκ τούτου πρακτικόν τε ὁμοῦ καὶ θεωρητικὸν ἀποτελεῖσθαι· εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, καὶ ἡ πρὸς τοὺς λόγους τριβὴ καὶ τὸ σχολάζειν μαθήμασιν, ἅπερ γλῶσσαν καὶ χεῖρα καθοδηγεῖν οἶδε καὶ προάγειν ἐπὶ τὸ βέλτιον. ὑπῆρχον γὰρ τῇ ποίμνῃ οἱ τούτων ὄντες ἐν πείρᾳ, οὓς ἐγγὺς καθορῶν καὶ ἀναστρεφόμενος ἐθηρᾶτο τῶν λόγων τὸ μέλι καὶ τοῖς σίμβλοις τῆς ἑαυτοῦ καρδίας ἀπεθησαύριζεν εἰς τοσοῦτον τάχει καὶ δεξιότητι φύσεως, ὥστε καὶ τοῖς συνοῦσι καὶ αὐτῷ τῷ παιδευτῇ θαῦμα παρέχειν οὐ τὸ σμικρότατον.

4. Τούτοις ὁ μακάριος συναυξόμενός τε καὶ ἀρδευόμενος "ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρ' ὕδασιν", ἡλικίᾳ τε προκόπτων καὶ χάριτι, τῆς ἀνωτάτω φιλοσοφίας ἐπεμελεῖτο μᾶλλον, σκληραγωγίαις τὸ σαρκίον ὑποπιέζων καὶ τὰς τούτου κινήσεις ταῖς πρὸς τὸν ποιμένα καταστέλλων ἐξαγορεύσεσιν. ἀεὶ γὰρ τὰς τοῦ πονηροῦ προσβολὰς ἐμφανεῖς αὐτῷ καθιστῶν εἶχε τοῦτον πρὸς τὰς τῶν πολέμων ἐπηρείας ἐπαλείπτην καὶ σύμμαχον· ἐν ᾧ κατὰ πάντα πᾶσιν εὐδοκιμῶν ἄτρωτος ἦν τῶν τοῦ ἐναντίου βελῶν καὶ τὸ τῆς ἁγνείας τίμιον ἀνεπιβούλευτον διεφύλαττεν. τοσούτοις διαλάμπων τοῖς κατορθώμασιν ὁ μέγας Ἰωσὴφ καὶ ἄλλοις ἀγαθοῖς ἐσεμνύνετο πλείοσιν· ἦν γὰρ τὸ ἦθος σεμνός, τὸ φρόνημα μέτριος, πραῢς τὴν ψυχήν, τὴν γνώμην ἁπλοῦς, ἀκακίᾳ συζῶν, παντὸς ἀπεχόμενος δόλου, πάσης μακρυνόμενος κακουργίας, ἀφιλάργυρος τῷ τρόπῳ, ἀφιλοχρήματος, εὐσυμπάθητος, παιδόθεν τὸν ἔλεον πρὸς τοὺς πένητας ἀσπαζόμενος, τὸ δ' ἀφιλόνεικον εὐδιάγνωστον, τὸ εἰρηναῖον ἀριδηλότατον, τὸ ἀληθὲς οἰκεῖον· τὸ ψεῦδος οὐδὲ τοῖς χείλεσιν ἔσχε πάροδον, καὶ ἁπλῶς εἰπεῖν παντὸς καθαρεύων πονηροῦ πράγματος ἐγινώσκετο κατὰ τοὺς παρὰ τῆς Γραφῆς μαρτυρουμένους δικαίους.

---

2 cod. ὁσήμεραι. 9 cod. ἐμπείρα. 10 τὸ] cod. τῷ. 14/15 Psalm. 1, 3.
13 cod. σμικρότατο. 15 cod. παρύδασιν. 20 cod. ἐπιρροίας.

τοιοῦτος ἦν ταῖς ἀρεταῖς ὁ ἀοίδιμος Ἰωσήφ· τοιαύταις διέλαμπεν προκοπαῖς, αἷς συνακμάζων ἐκ νέας ἡλικίας μέχρι τέλους φύλαξ αὐτῶν ἀναπέφηνεν ἀκαταίσχυντος, ἄλλα πλείω τούτων συνεπικτώμενος καὶ τῷ τῆς ψυχῆς θαλαμεύων ταμείῳ καὶ λαμπρότερος ἡμέραν ἐξ ἡμέρας ἀναδεικνύμενος.

